// Textkit

Greek and Latin Learning Tools

*Learn Greek and Latin at*
www.textkit.com

This document was prepared by Textkit and is made available for personal educational use only.

# KEY

TO

# FIRST GREEK WRITER

BY

A. SIDGWICK, M.A.

FELLOW AND TUTOR OF CORPUS CHRISTI COLLEGE, OXFORD
LATE ASSISTANT MASTER AT RUGBY SCHOOL, AND
FELLOW OF TRINITY COLLEGE, CAMBRIDGE

LONDON
LONGMANS, GREEN, AND CO.
AND NEW YORK: 15 EAST 16TH STREET
1892

# KEY

TO

# A FIRST GREEK WRITER.

## I.

μεσημβρία νῦν ἐστί, καὶ ὁ ἥλιος σφόδρα θερμός ἐστιν. ἡ σκιὰ τῶν δένδρων ψυχρά ἐστι, καὶ ἡ λίμνη καλή. ὁρῶ πολλοὺς κύκνους, οἳ λαμπροί εἰσι καὶ λευκοί. ὁ τράχηλος ἐκείνου τοῦ κύκνου μακρός ἐστιν, ἀλλὰ τὸ πτερὸν τὸ ἀριστερὸν δοκεῖ μικρὸν εἶναι. οὐκ οἶδα τὴν αἰτίαν τούτου. ἴσως κακή ἐστι νόσος ἐν τούτῳ τῷ πτερῷ. ἴσως τούτου τοῦ κύκνου ὀστοῦν λίθῳ διερράγη. ἐπὶ τῆς λίμνης ἐστὶ μικρὸν πλοῖον.

## II.

ἐν τούτῳ τῷ πλοίῳ εἰσὶ τρεῖς ναῦται. τούτοις τοῖς ναύταις ἐρυθρά ἐστι τὰ ἱμάτια. ὁ νέος ναύτης ἔχει ἱστίον ἐπὶ τοῦ ὤμου. ἕτερός τις καθεύδει, ὁ δὲ τρίτος ἐστὶ παρὰ τῷ πηδαλίῳ. οὗτος οὐχ ὁρᾷ τὸν δεινὸν κίνδυνον, πέτρα γὰρ ἐν τῇ λίμνῃ ἐστίν. αὕτη δὲ χαλεπή ἐστι, καὶ πολλοῖς ἔσται αἰτία τοῦ θανάτου. νῦν ἐγγύς εἰσι τοῦ τόπου, καὶ ὠχρός εἰμι ὑπὸ φόβου. τοὺς ὀφθαλμοὺς ἀποτρέπω. ἰδού,

ἔξω τοῦ κινδύνου εἰσί, καὶ ἐν τοῖς ὀφθαλμοῖς μού ἐστι δάκρυα.

## III.

οὗτος ὁ ἵππος ἐστὶν ἐμός. πρότερον μὲν ἦν ἰσχυρός, νῦν δὲ σφόδρα λεπτὸς καὶ φαῦλός ἐστι. τούτου δὲ τὴν αἰτίαν λέξω. ἐκεῖνοι οἱ γεωργοὶ οἷς ἐπέτρεπον αὐτὸν ἦσαν πάνυ ἄπιστοι. ἔκλεπτον τὸν σῖτον τοῦ ἵππου. ἡ δὲ μηχανή ἐστιν ἀγαθή, ἣν ἔχω, λίθους γὰρ ἐς τὴν φάτνην ἔθηκα. ὁ ἵππος ἐσθίων τὸν σῖτον ἀποπτύει τοὺς λίθους. οἱ δὲ γεωργοὶ κλέπτουσι τὸν σῖτον σὺν τοῖς λίθοις. τούτῳ δὲ τῷ τρόπῳ ῥᾴδιόν ἐστιν ἐξευρεῖν τὴν ἀπάτην. οἱ γεωργοὶ τοίνυν οὐκέτι ἔσονται κακοί. ἡ γὰρ ζημία αὐτοῖς δεινὴ ἔσται καὶ χαλεπή.

## IV.

ἤδη τὸ πεζὸν ἐν τῷ στρατοπέδῳ ἐστί, καὶ τὸ ναυτικὸν παρὰ τῷ αἰγιαλῷ ταύτης τῆς νήσου. οἱ πολέμιοι ἐπὶ τοῦ λόφου εἰσί, ὃς ἐναντίος ἐστι τῷ ἡμετέρῳ στρατοπέδῳ. τῇ αὔριον ἴσως μάχη ἔσται· ἐκεῖνοι γὰρ ἕτοιμοι δοκοῦσιν εἶναι. αὕτη δέ ἐστιν ἡ μηχανὴ τοῦ ἡμετέρου στρατηγοῦ. νῦν γὰρ σκοτεινά ἐστιν ἅπαντα, καὶ τὰ πυρὰ τῶν πολεμίων ὀλίγα ἐστίν. ὥστε οὐ χαλεπὸν ἔσται τοῖς ἡμετέροις στρατιώταις λάθρα πρὸς ἐκείνους ἐλθεῖν, καὶ πολλῶν τὰς κεφαλὰς ἀποτεμεῖν. οὕτω δὲ αὔριον ὀλίγοι ἔσονται ζωοί, καὶ ἡμετέρα ἔσται ἡ νίκη.



## V.

τάφρος ἐστὶν ἐν τῷ ἀγρῷ τούτῳ, καὶ πλεῖστον ἔχει βόρβορον. τῶν δὲ πολλῶν ἵππων οἵ εἰσιν ἐνταῦθα, εἷς τις ἐν κινδύνῳ δεινῷ δοκεῖ εἶναι. ἐγγὺς γὰρ ἕστηκεν, ἐπ᾽ αὐτῇ τῇ τάφρῳ. οἴμοι, νῦν ἐν μέσῳ τῷ βορβόρῳ ἐστίν. οἱ δὲ ἕτεροι ἐν ἀπορίᾳ εἰσίν, καὶ οὐχ οἷοί τε ἔσονται τὸν ἑταῖρον ἐξέλκειν. τοῦτο γὰρ μόνος ὁ δεσπότης δυνατός ἐστι ποιεῖν, ὃς οἴκοι ἐστί. ἐν δὲ τοῖς ἵπποις εἷς ἐστίν, ὃς πολλῷ σοφώτερός ἐστι τῶν ἄλλων. ὁ δὲ πρὸς τὸν οἶκον τρέχει, καὶ τῇ κεφαλῇ τὴν θύραν παίει. οὕτω δὲ δῆλόν ἐστι τῷ δεσπότῃ τὸ κακόν, καὶ ἐξέλκει τὸν ἵππον.

## VI.

οἱ Ἰνδοὶ κακοί εἰσιν ἄνθρωποι· ψευστὰς γὰρ καὶ κλέπτας τιμῶσι. ἦν δέ τις δεσπότης ᾧ ἦν πλίνθος χρυσῆ· ἡ δὲ τιμὴ τοῦ χρυσοῦ ἦν θαυμασία. δοῦλος δέ τις τῶν ἐν τῷ οἴκῳ ἔκλεψε τὴν πλίνθον· ὁ δὲ κλέπτης ἄδηλος ἦν τῷ δεσπότῃ. ἦν δὲ κριτὴς σοφὸς ἐν τῇ χώρᾳ· ὁ δὲ πάντα ἐξεῦρε ταύτῃ τῇ μηχανῇ.

οἱ γὰρ δοῦλοι περὶ αὐτὸν ἦσαν ἐς τὸ αὐτὸ συνειλεγμένοι. φόβος δὲ ἦν τοῦ κριτοῦ μέγιστος. ὁ δὲ εἶπε τοῦτον τὸν λόγον· ὁ κλέπτης πτερὸν ἔχει ἐπὶ τῇ κεφαλῇ. καὶ οἱ μὲν ἄλλοι ἦσαν ἥσυχοι, ὁ δὲ κλέπτης ἐτίναξε ταχέως τὴν κεφαλήν, καὶ οὕτω φανερὸς ἦν τοῖς δούλοις καὶ τῷ κριτῇ.

## VII.

ἔστι τῷ ἀδελφῷ τῷ ἐμῷ χίμαιρά τις, ἣν θαυμασίῳ τρόπῳ εὗρεν. πέτρα γάρ τίς ἐστιν οὐ μακρὰν ἀπὸ τοῦ οἴκου, καὶ ἐν ταύτῃ τῇ πέτρᾳ ἄντρον τι μέγα ὑπὸ τῆς γῆς. ἦν δὲ ὁ ἐμὸς ἀδελφός ποτε ἐν τῷ ἄντρῳ, καὶ ὕπνῳ βαρυνόμενος ἔκειτο μακρὸν χρόνον ἥσυχος. ἐξαίφνης δὲ εἶδε λαμπροὺς ὀφθαλμοὺς διὰ τοῦ σκότου. καὶ ἐν πολλῷ φόβῳ ἦν. τῷ γὰρ λύκῳ εἰσὶ τοιοῦτοι οἱ ὀφθαλμοί, καὶ ἡ χώρα πλέα ἐστὶ λύκων. ἡ δὲ χίμαιρα ἐν τούτῳ τοὺς δακτύλους τῆς ἀριστερᾶς ἔλειχεν, καὶ οὐκέτι ἦν αὐτῷ φόβος οὐδείς.

## VIII.

ἐν ταύτῃ τῇ ὕλῃ εἰσὶ μέλισσαι ἀνήριθμοι πάντῃ τάχιστα πετόμεναι. ποῦ ἐστὶ τὸ χωρίον ἐν ᾧ ὁ οἶκός ἐστι ταύταις; ἔστι που ἐν τούτων τινὶ τῶν μεγάλων δένδρων. πολλάκις γὰρ σαπρόν ἐστι τὸ ξύλον, διὰ τὸν μακρὸν χρόνον καὶ τὸν δεινὸν ὑετόν. οὕτω δὲ ἐν τῷ κοίλῳ ἄντρον τι ἐστί, ὅπερ οὐκ ἄνευ πόνου ὑπὸ τῶν μελισσῶν ἐς οἶκον πεποίηται. τοῦτο δὲ θαυμάσιόν ἐστιν, ὅτι οὐκ ἄνθρωποι ταῖς μελίσσαις εἰσὶν ἔχθιστοι, ἀλλὰ ἄρκτοι. οὗτοι γὰρ ὅμοιοι παιδίοις εἰσί, καὶ τῶν ἡδίστων μέγιστος αὐταῖς ἐστὶ πόθος.

## IX.

διὰ τί πιστοὶ ἦσαν τῷ Κύρῳ παντοῖοι ἄνθρωποι, ὅσοι τῇ αὐτοῦ ἀρχῇ ὑπήκοοι ἦσαν; ὅτι αὐτὸς πιστότατος ἦν, καὶ τὸν πλοῦτον ἀεὶ ἕτοιμος τοῖς ἑταίροις δοῦναι, καὶ δῶρα



ὧν ἕκαστος ἦν δεόμενος. καὶ παρὰ τῶν φίλων πολλὰ ἀντελάμβανεν, ἀλλ' οὐ τοσαῦτα ὅσα ἐκεῖνοι παρ' αὐτοῦ. ἐνίοτε δὲ σπάνιος ἦν ὁ σῖτος τοῖς ἀνθρώποις καὶ ὁ χιλὸς τοῖς ἵπποις· τότε δὲ ἄρτους αὐτοῖς ἔπεμπε, καὶ περὶ τοῦ χιλοῦ ταῦτα ἔφη· χιλός ἐστί μοι διὰ τὴν ἐπιμέλειαν τῶν δούλων· δώσω οὖν τοῖς φίλοις· ᾧ γὰρ ἄνθρωπος φίλος ἐστί, τούτῳ οὐχ ἧσσον ὁ ἐκείνου ἵππος.

## X.

ζῷόν ἐστι θαυμάσιον ὁ στρουθός· πτερὰ μὲν γὰρ ἔχει, πέτεσθαι δὲ οὐχ οἷός τ' ἐστὶ τοῖς πτεροῖς. εἶδον δέ ποτε λευκόν τι ἐπὶ τῆς ψάμμου κείμενον· τῇ δὲ μορφῇ ὅμοιον ἦν ᾠῷ, ἀλλὰ παιδίου κεφαλῇ ἴσον· τοῦτο δὲ ᾠὸν ἦν τοῦ στρουθοῦ. τοῦτο δὲ τὸ θηρίον ἰσχυρὸν μέν ἐστιν, ἀνόητον δὲ καὶ δειλόν· οὐ γὰρ ἐς μάχην ἔρχεται τοῖς πολεμίοις, ἀλλὰ φόβῳ τοῦ κινδύνου φεύγει. ἐνίοτε δὲ σφόδρα δεινὸν φόβον ἔχει, καὶ τότε ἐς τὴν ψάμμον ὠθεῖ τὴν κεφαλήν, τὰ δὲ ἕτερα οὐ κρυπτά ἐστιν· ἀλλὰ τοῖς θηρευταῖς φανερὸν δή ἐστι τὸ ὄρνεον.

## XI.

οὗτός ἐστι μῦθος περὶ τῶν λύκων καὶ τῶν προβάτων, οἵῳ τρόπῳ ἡ βουλή ἐγένετο περὶ τῶν κακῶν καὶ τῆς ἀδικίας.

τὰ γὰρ πρόβατα δεινὰ ἔπασχεν ὑπὸ τῶν λύκων· ὥστε ἐν τῇ χώρᾳ οὐκέτι οὐδεμία ἦν ἀσφάλεια αὐτοῖς. καὶ διὰ ταῦτα ἀνάγκη ἦν μηχανήν τινα εὑρεῖν. καὶ προβάτιον

ἦν σοφώτερον τῶν ἄλλων, καὶ ἔλεγε ταῦτα. ὦ πρόβατα, διὰ τούτους τοὺς λύκους κακὸς ἡμῖν ὁ βίος. βουλὴ τοίνυν ἔσται, καὶ παρέσονται οἱ λύκοι, καὶ πείσομεν αὐτοὺς φιλίαν καὶ εἰρήνην πρὸς ἡμᾶς ποιεῖσθαι. εἰρηνικὸς γάρ εἰμι, καὶ οὐ φίλη μοί ἐστιν ἡ πρὸς τοὺς λύκους μάχη.

## XII.

ἦν τοίνυν ξύλλογος τῶν προβάτων ἐς βουλήν· οἱ δὲ λύκοι καὶ αὐτοὶ ἦλθον, οὐδὲ ἐκωλύοντο ὑπὸ ἐκείνων· καὶ τὸ προβάτιον ἔφη τάδε· ἐν δεινῷ δή ἐσμεν κινδύνῳ, ἁρπαζόμενοι ὑπὸ τῶν λύκων· τοῦτο δὲ ἄδικον· ὥστε νόμον τινὰ βουλόμεθα ἔχειν, καὶ οὕτως ἐν ἀσφαλείᾳ μᾶλλον εἶναι. καὶ οἱ λύκοι αὐτοῖς ἔλεγον τάδε· νόμος οὖν ἔσται ὑμῖν τοιοῦτος· τὸ προβάτιον τὸ ὑπὸ λύκου ἀδικούμενον ἄξει τὸν ἄδικον πρὸς τὴν ἡμετέραν βουλήν. καὶ ἀμφοτέροις ἔσται παρ' ἡμῶν τὸ δίκαιον.

καὶ τότε μὲν τερπνὸν ἦν τοῖς προβάτοις· ἡ δὲ ἀδικία τῶν λύκων οὐδαμῶς ἧσσων ἐγένετο.

## XIII.

αἱ περιστεραὶ φρόνιμαί εἰσι καὶ πάνυ δειναὶ φέρειν ἐπιστολάς. τοῦτο δὲ ποιοῦσι τοιῷδέ τινι τρόπῳ. ἡ περιστερὰ φιλεῖ τὸν οἶκον, καὶ συνετή ἐστιν· ὥστε τὴν ὁδὸν τὴν πρὸς τὸν οἶκον ῥᾳδίως εὑρίσκει.

καὶ ἦν ποτε χωρίον τῶν Μαμεδαίων, ὃ ἐν πολιορκίᾳ ἦν ὑπὸ τῶν πολεμίων. καὶ περὶ μεσημβρίαν ποτὲ στρατιώτης τις τῶν πολεμίων εἶδε περιστερὰν ἄνω ἐν τῷ οὐρανῷ πετομένην. καὶ ὑπὸ τοῖς πτεροῖς ἦν λευκόν τι, ὥσπερεὶ ἐπιστολή. ἐνταῦθα δὲ πόθος ἦν τοῖς στρατιώταις λαβεῖν τὸ ὄρνεον. καὶ τῶν οἰστῶν πεῖραν ἐποιοῦντο. ἀλλὰ οὐδὲν ὠφέλιμοι ἦσαν.



## XIV.

εὐθὺς δὲ βοὴ ἐγένετο τῶν στρατιωτῶν. δεινὴ γὰρ ὀργὴ ἦν ἐπὶ τῇ ἀποφυγῇ τῆς περιστερᾶς. αὕτη δὲ ἐν φόβῳ ἦν διὰ τὸν θόρυβον, καὶ ἔπεσεν εὐθὺς ἐς τὸ στρατόπεδον.

ἔλυσαν δὲ τὴν ἐπιστολὴν τὴν περὶ τὸν τράχηλον· καὶ ἐν ταύτῃ λόγοι ἦσαν τοιοίδε·

ὦ φίλοι πολῖται τῶν Μαμεδαίων, διὰ τί φόβον ἔχετε τοιοῦτον περὶ τῆς πολιορκίας; οὐδεμία δὴ ἔνδεια ἔσται ὑμῖν βοηθείας. παρασκευὴν γὰρ θαυμασίαν ποιούμεθα· καὶ στρατὸν ἄξει ὁ τύραννος, καὶ διὰ πέντε ἡμερῶν ἐγγὺς ἐσόμεθα τοῦ ὑμετέρου τειχισμοῦ. διὰ τοῦτο ἀνόητόν ἐστιν ἐν ἀπορίᾳ εἶναι. ταχὺ γὰρ νίκη ἔσται ὑμῖν καὶ ἀφθονία τῶν ἐπιτηδείων. τοιαύτη τοίνυν ἦν ἡ ἐπιστολή.

## XV.

τοῖς δὲ στρατιώταις χαρὰ ἦν μεγίστη ἐπὶ τούτῳ· ἡ γὰρ ἐπίνοια τῶν πολεμίων φανερὰ νῦν ἦν, οὐχ ἧσσον τῆς ἀπορίας τῶν Μαμεδαίων.

ὥστε ἄλλην ἐπιστολὴν ἀντὶ τῆς προτέρας ἔγραψαν· καὶ ἦν τοιάδε·

ὦ φίλοι πολῖται τῶν Μαμεδαίων, ἀμήχανοι δὴ νῦν ἐσμεν· ὠφέλειαν γὰρ δοῦναι ὑμῖν οὐ δυνατοί ἐσμεν τὸ

παράπαν. ὁ γὰρ τύραννος ἐν νῷ ἔχει ἑτέραν στρατείαν ποιεῖσθαι. ἀλλ' οὐκ ἀνέλπιστοι πάνυ ἐσμέν περὶ ὑμῶν· θαρσαλέοι γὰρ καὶ ἰσχυροί ἐστε ἐς τὸν πόλεμον.

καὶ ταύτην ἡ περιστερὰ ἔφερεν εἰς τὸ χωρίον τοῖς Μαμεδαίοις· φόβος δὲ ἔσχατος ἦν τοῖς ἔνδον· καὶ ἐνέδοσαν ἑαυτοὺς ἐκείνοις. καὶ διὰ πέντε ἡμερῶν ἐφάνη ὁ τύραννος μετὰ τοῦ στρατοῦ· οἱ δὲ πολέμιοι ἤδη ἔνδον ἦσαν.

## XVI.

ὕλη τις ἦν παντοίοις φυτοῖς δασεῖα καὶ δένδρεσι, καὶ ἐνταῦθα μέγα πλῆθος ἦν ὀρνίθων καὶ θηρίων. καὶ οὐδεὶς ἐν μείζονι τιμῇ ἦν τοῦ ἐλέφαντος. ἦν δέ ποτε σύλλογος τῶν ἄλλων θηρίων, καὶ περὶ ἐκείνου πολὺς λόγος ἐγίγνετο. τίς γάρ ἐστιν ἡ αἰτία, ἔφασαν, τῷ ἐλέφαντι τῆς τιμῆς; καὶ ἄλλοις ἄλλη αἰτία ἐδόκει εἶναι.

καὶ πρῶτον τῆς ἀλώπεκος ἦν τοιόσδε ὁ λόγος. διὰ τί δὴ οὗτος ἡμῶν ἐστὶ κρείσσων; οὐδαμῶς οἶμαι διὰ τὴν κέρκον· πάνυ γὰρ σμικρά τις αὐτῷ ἐστι καὶ αἰσχρά. καὶ ἅμα λέγουσα τὴν ἑαυτῆς μακρὰν καὶ ἁπαλὴν κέρκον ἐκίνει.

εὖ λέγεις, ἔφασαν οἱ ἄλλοι, μετὰ πολλοῦ γέλωτος καὶ ἐπαίνου.

## XVII.

μετὰ δὲ τοῦτον ἔφη ὁ ἄρκτος τοιάδε· ἀληθὲς μὲν τοῦτο· ἐκ δὲ ὀνύχων τινὶ τιμὴ εἰκότως γίγνεται· ἄνευ γὰρ ὀνύχων φαῦλός πού τίς ἐστι τῷ κάλλει· τῷ δὲ ἐλέφαντι οὐδὲν τοιοῦτον οὔπω γέγονε· τοῦτο δὲ δῆλόν ἐστιν ἅπασιν.



ἐνταῦθα δὲ ὑπέλαβεν ὁ βοῦς, λέγων· Ἐγὼ μέντοι τὴν αἰτίαν γιγνώσκω. τούτῳ γὰρ ὀδόντες εἰσὶ δύο μακροί, ἐκ τοῦ στόματος προέχοντες· οὗτοι δὲ τοῖς ἑτέροις κέρασιν ὅμοιοι δοκοῦσιν εἶναι· τῶν κεράτων δὲ οὐδεὶς δήπου οἶδεν οὐδὲν κάλλιον.

ὕστατος δὲ ἔφη τάδε ὁ ὄνος· Ὑμεῖς μὲν πάντες ἀμαθεῖς ἐστὲ καὶ ἄφρονες. Τίς γὰρ τοῖς γε κέρασι καὶ ταῖς κέρκοις τιμή; οὐ δῆτα, ἀλλὰ ὤτων τὸ ἀληθὲς κλέος· διὰ τὰ ὦτα τοίνυν ἡ τιμὴ γέγονε τῷ ἐλέφαντι.

## XVIII.

θηρευτής τις ἦν, καὶ ἔθος ἦν τούτῳ πολλάκις διὰ τῆς ὕλης ἰέναι· ἐνταῦθα γὰρ θήρα ἦν τῶν λεόντων.

εὗρε δέ ποτε λέοντος δύο σκύμνους, ἄνευ τοῦ πατρὸς ὄντας. καὶ φόβος ἦν οὐδεὶς τούτοις περὶ ἐκείνου· ἔσαινον δὲ ταῖς κέρκοις, καὶ φίλιοι ἦσαν αὐτῷ.

καὶ τῷ θηρευτῇ τερπνὸν ἦν τοῦτο, καὶ χαμαὶ καθήμενος, ἔδωκε τῶν σιτίων τι τοῖς σκύμνοις· καὶ ἅμα καὶ αὐτὸς ἤσθιε μετ' αὐτῶν. ἡ δὲ λέαινα, ἡ μήτηρ τῶν σκύμνων, ἦλθεν ἐν τούτῳ. καὶ εἶδε τὸν ἄνδρα καὶ τοὺς σκύμνους ὁμοῦ ἐσθίοντας. τότε δὲ οὐκέτι πόθος ἦν αὐτῇ συλλαβεῖν τὸν ἄνδρα, ἀλλὰ ἀπῄει καὶ ἔλαφον ἔκτεινε καὶ ἔφερε πρὸς αὐτόν.

## XIX.

εἶδέ ποτε πίθηκός τις τὴν ἑαυτοῦ ὄψιν ἐν κατόπτρῳ, καὶ ἄρκτῳ τινὶ ὃς ἦν ἐγγὺς τοιάδε ἔλεξε.

ὦ φίλτατε, ἰδοὺ δὴ ὡς αἰσχρὸν καὶ ἀνόητον ἐκεῖνο τὸ θηρίον· ὡς ἀναιδής ἐστι τοῖς σχήμασι· καὶ ἑαυτῷ ὅμως κάλλιστος δοκεῖ εἶναι· καὶ περὶ ἐμοῦ μὲν οὐδὲν λέξω· πῶς γὰρ τοιούτῳ ὅμοιός εἰμι; κρεῖσσον πολὺ ξιφιδίῳ ἀποθανεῖν, ἢ ἐν πᾶσιν ἀνθρώποις τοιαύτην αἰσχύνην ἔχειν. τῶν δὲ ἡμετέρων φίλων πού εἰσί τινες, ὦ ἑταῖρε, οἷς οὗτος ἄγαν ὅμοιός ἐστι· μιμοῦνται γὰρ τῇ ὄψει ἐκεῖνο τὸ θηρίον, καὶ τὴν αὐτὴν ἰδέαν ἔχουσι σκιρτημάτων καὶ ἀφροσύνης.

τῷ δὲ ἄρκτῳ γέλοιον μὲν ἐφαίνετο τὸ πρᾶγμα, ἀντεῖπε δὲ οὐδέν.

## XX.

Τοῖς δὲ Αἰγυπτίοις πολλοὶ καὶ παντοῖοί εἰσι μῦθοι περὶ πάντων πραγμάτων· καὶ οὐχ ἥκιστα περὶ τῶν δαιμόνων. τούτοις γὰρ πολλὴ ἐπιμέλειά ἐστι τῶν ἀνθρώπων, καὶ τῇ δυνάμει θαυμαστὰ οἷοί τ' εἰσὶ ἐξεργάζεσθαι. τούτων δὲ τῶν μύθων τινὰς λέξω.

ἦν γὰρ δαίμων τις ποτε, ᾧ χρυσὸς ἦν πολὺς ὑπὸ γῆς κεκρυμμένος. τούτῳ δὲ ἀναγκαῖον ἦν ποτὲ ἀπελθεῖν· ἔστι γὰρ μέγιστός τις καὶ δυνατώτατος τῶν δαιμόνων, τῶν ἑτέρων βασιλεὺς ὤν· ἐκείνῳ δὲ ὑπὸ τοῦ βασιλέως εἴρητο ἐς τὴν Ἀσίαν ἀπελθεῖν. τότε δὲ ἐν λύπῃ ἦν πολλῇ καὶ ἀπορίᾳ περὶ τοῦ χρυσοῦ· οὐ γὰρ οἷόν τ' ἦν αὐτῷ ἀποφέρειν μεθ' ἑαυτοῦ· τοῦτο γαρ ἀπόρρητον ἀεὶ τοῖς δαίμοσι. πῶς ἄρα ἐν ἀσφαλείᾳ ἔσται ὁ χρυσος;



## XXI.

ἐν δὲ τῇ αὐτῇ πόλει οὗ ἦν ὁ χρυσὸς καὶ ἄνθρωπός τις ἦν πλούσιος καὶ αἰσχροκερδὴς ὤν. τούτῳ οὖν νυκτὸς προσελθὼν ὁ δαίμων ἔλεξε τοιάδε·

ὦ φίλε, οὐδὲν δεῖ ἐν φόβῳ σὲ εἶναι περὶ ἐμοῦ. γνώριμος γάρ μοι εἶ ἐκ πολλοῦ ἤδη καὶ φίλος. καὶ δι' εὔνοιαν σοὶ νῦν προσῆλθον. πολὺν γὰρ χρυσὸν ἔχω ἐνταῦθα, καὶ οὐκέτι μοι ὠφέλιμος ἔσται· μέλλω γὰρ ἀποδημεῖν. καὶ τοῦτον ἐν νῷ ἔχω δοῦναί τινι· σοῦ δὲ οὐδένα εὗρον πιστότερον οὐδὲ ἐπιμελέστερον. μόνος οὖν ἄξιος εἶ τοσούτου δώρου. αὔριον τοίνυν ὄψει ἐν μέσῳ τῷ οἰκήματι τούτῳ πάντα τὸν ἐμὸν χρυσὸν χαμαὶ κείμενον.

μετὰ δὲ ταῦτα ἀπῆλθεν ὁ δαίμων· καὶ δι' ὀλίγου ἡμέρα ἦν· καὶ ἀντὶ τοῦ δαίμονος ὁ χρυσὸς ἦν ἐπὶ τῆς γῆς.

## XXII.

καὶ ὁ μὲν δαίμων πεντήκοντα ἔτη ἀπῆν ἐν τῇ Ἀσίᾳ· τέλος δὲ ἐξουσία ἦν αὐτῷ εἰς τὴν προτέραν πόλιν ἥκειν καὶ πρὸς τὸν οἶκον εὐθέως ἔβη τὸν τοῦ αἰσχροκερδοῦς ἀνθρώπου. καὶ ὧδε πρὸς ἑαυτὸν διελέγετο· περὶ μὲν αὐτοῦ τοῦ ἀνδρὸς οὐδέν μοι σαφές ἐστιν· διὰ γὰρ πεντήκοντα ἐτῶν ἴσως τέθνηκεν· περὶ δὲ τοῦ χρυσοῦ πάντα μοι ἤδη δῆλα· ἐν ἀσφαλείᾳ γαρ οὗτος γοῦν ἔσται.

καὶ ἀληθὲς ἦν τοῦτο· θήκη γὰρ ἦν μεγάλη καὶ ἰσχυρά, καὶ ἐντὸς ταύτης ὁ χρυσος ἦν· ὁ δὲ ἀνὴρ ἐπάνω ἔκειτο· καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἦσαν αἱ κλεῖδες τῆς θήκης· καὶ νεκρὸς

ἦν. σιτίων γὰρ ἐνδείᾳ ἐν τοσούτῳ πλούτῳ ἀπέθανε. ἐν δὲ τῇ θήκῃ οὐ μόνον τὸν πρὶν χρυσὸν εὗρεν ὁ δαίμων, ἀλλὰ καὶ διπλάσιον, ὑπὸ τοῦ θανόντος ἐπιπόνως ἐν τούτῳ χρόνῳ συλλεγόμενον.

## XXIII.

πλούσιος ἦν ὁ Ἀριφέρνης, καὶ σατράπης πολλῶν ἀνθρώπων. ὑπὸ δὲ νόσου ποτὲ ἐς πολλήν ταλαιπωρίαν κατέστη· καὶ τέλος ἀπέθανε. εὐθὺς δέ, κατὰ τὸ τότε ἔθος, κατέβη ἐς Ἅιδην πρὸς τὸν Αἴακον, τὸν δικαστὴν τῶν νεκρῶν.

καὶ ὁ Αἴακος ἔφη τάδε. πόθεν δὴ ἦλθες, καὶ τίς καὶ ποῖος ἄνθρωπος εἶ;

ὁ δὲ ἔφη· ἐγὼ μὲν Πέρσης, ὀνόματι Ἀριφέρνης, εἶχον δὲ πολλὰ ἔτη νόσον τινὰ δεινήν· καὶ οὐχ οἷός τ᾽ ἦν αὐτὸς τῆς ἀρχῆς καὶ τοῦ πλήθους τοῦ ἐκεῖ ἐπιμελεῖσθαι· ἀλλὰ τὰ τοιαῦτα πάντα τοῖς ὑπηρέταις καὶ δούλοις ἐπέτρεπον· ἐγὼ δὲ τῶν ἐμῶν σιτίων καὶ ποτῶν πρόνοιαν εἶχον.

## XXIV.

ὁ δὲ Αἴακος ἀπεκρίνατο τοιάδε· Πέμψω σε τοίνυν ἐς τὸ Ἠλύσιον. τοῦτο δὲ τῶν ἀγαθῶν ἀνδρῶν ἐστι χωρίον. ὁ δὲ Ἑρμῆς παρῆν, καὶ Τοῦτο, ἔφη, ἄδικόν ἐστι· οὗτος γὰρ ἀργός που ἦν, οὐδὲ ἄξιος τοσαύτης εὐτυχίας.

ὁ δὲ Αἴακος μετὰ γέλωτος πολλοῦ ἀντεῖπε τοιάδε· ἀλλά, ὦ φίλε, οὗτος ἀνόητός ἐστι· καὶ τοῖς ἀνθρώποις πλεῖστα δὴ κακὰ γίγνεται διὰ τοὺς ἀνοήτους, οὗτος δὲ ἀμείνων ἦν



τῶν ἄλλων ἀνοήτων δι᾽ αὐτὴν τὴν ἀργίαν. οὕτω γὰρ ἧσσω κακὰ ἐγένετο τῷ πλήθει.

σήμερον δὲ ἐγὼ ἦν ἐν τῷ δικαστηρίῳ, καὶ τοῦ ἐκεῖ δκίαστοῦ ἤκουον. τοῦτο δὲ σαφές μοί ἐστι περὶ αὐτοῦ· ὁ Αἴακος αὐτὸν ἐς τὸ Ἠλύσιον πεμψει.

## XXV.

οἱ Δαμαραῖοι τοῦτον τὸν λόγον λέγουσι· ἐκείνῳ τῷ χρόνῳ ᾧ ἡ γῆ ἐγένετο, ἦν πανταχοῦ σκότος· οἱ δὲ ἀγροὶ δένδρα παντοῖα ἔφερον, ἀλλ᾽ οὔπω οὔτε ἄνθρωπον οὔτε θηρίον οὔτε ὄρνιθα οὔτε ἰχθύν. δένδρον δὲ ἕν τι τρέφουσι, καὶ μητέρα ὀνομάζουσι· ἐκ γὰρ τούτου ἐξῆλθεν ὁ πρῶτος ἄνθρωπος· καὶ μετὰ τοῦτο ἕτερον δένδρον πάντα τὰ ζῷα ἐξέπεμπε. ὁ δὲ ἄνθρωπος χαλεπῶς ἔφερε τὸν σκότον, καὶ πῦρ ἧπτε. τὰ δὲ πολλὰ τῶν ζῴων πολλῷ φόβῳ ἀπέφυγε· ἡ δὲ οἶς καὶ ὁ βοῦς καὶ ὁ κύων ἔμενον. οὕτως δέ ἐξ ἐκείνου τοῦ χρόνου οὗτοι τῷ ἀνθρώπῳ εἰσὶ φίλιοι.

## XXVI.

οἱ Λίβυες δεινὸν γένος εἰσίν, καὶ πολλοὺς καὶ θαυμασίους λόγους περὶ αὐτῶν λέγουσιν οἱ ἄνθρωποι. εἶχε δὲ τίς ποτε δοῦλον Λίβυν, καὶ πολλάκις αὐτὸν ἔπεμπε πρὸς φίλον μετὰ ἰχθύων, οὓς ὁ Λίβυς ἔφερεν. ὁ δὲ φίλος ἦν αἰσχροκερδής, οὐδὲ ἔλαβεν οὔποτε ὁ δοῦλος δῶρον οὐδὲν παρ᾽ αὐτοῦ ἀντὶ τοῦ πόνου. ὥστε τέλος ἐχαλέπαινεν ἐκείνῳ διὰ τὴν αἰσχροκέρδειαν καὶ οὐκ ἤθελεν οὐδὲν ἔτι φέρειν πρὸς αὐτόν. ἀλλ᾽ οὐχ οἷός τ᾽ ἦν ἐλεύθερος γενέσθαι,

*καὶ ἠνάγκαζεν αὐτὸν ὁ δεσπότης· καὶ διὰ τοῦτο ἄλλην τινὰ μηχανὴν ἐξεῦρε τοιάνδε.*

## XXVII.

*φέρων γάρ ποτε ἰχθύν, εἰσῆλθεν εἰς τὸν ἐκείνου οἶκον, καὶ κατέβαλε πάντα ἃ εἶχεν ἐπὶ τοῦ λεκανίου. ὁ δὲ αἰσχροκερδὴς ἐχαλέπαινε, καὶ ὠνείδιζεν αὐτόν, λέγων τοιάδε· ὦ νεανία, ἄγροικος εἶ· αὐτὸς οὖν τὸν ἰχθὺν εἰσοίσω, καὶ παράδειγμά σοι δώσω τοῦ πρέποντος. καὶ τοῦτο εἰπών, ἔλαβε τὸ λεκάνιον, καὶ εἰσέφερε πρεπόντως. ὁ δὲ Λίβυς, καθήμενος ἐν τῇ ἐκείνου ἕδρᾳ, χαριέντως ἔλαβε τὸ δῶρον, καὶ εἶπεν αὐτῷ· χάριν σοὶ πολλήν ἔχομεν ἀντὶ τοῦ πόνου, ὦ κάλλιστε νεανία, καὶ ἰδού, δραχμὴν σοὶ δίδωμι.*

## XXVIII.

*τοῖς βαρβάροις πάνυ θαυμάσιον καὶ θεῖον φαίνεται εἶναι τὸ γράφειν.*

*ἦν ποτὲ δεσπότης τις ὃς δοῦλον εἶχεν Αἰγύπτιον. τοῦτον δὲ ἔπεμψε πρὸς φίλον, φέροντα θύλακον ἐν ᾧ ἔκρυψε δέκα μῆλα κάλλιστα καὶ ἥδιστα. μετὰ δὲ τῶν μήλων ἐπιστολὴν ἐς τὸν θύλακον ἔθηκε, ἐν ᾗ ἔγραψε τὸν ἀριθμὸν τῶν μήλων, ὅτι δέκα ἐστί. ταῦτα δὲ ἔδρασεν ὑποψίᾳ τῇ περὶ τοῦ δούλου· ἄπιστοι γάρ εἰσιν ὡς ἐπὶ τὸ πολὺ οἱ Αἰγύπτιοι. ὡς δὲ θερμὸς ἐγένετο ὁ ἥλιος, καὶ δίψαν εἶχεν ὁ δοῦλος, τέλος δύο ἐξελὼν τῶν μήλων κατέφαγε. τὰ δὲ λοιπὰ αὖθις κρύψας ἐν τῷ θυλάκῳ, πρὸς τὸν φίλον τοῦ δεσπότου ἀφίκετο καὶ ἔδωκεν ἅπαντα.*



## XXIX.

*ὁ δὲ φίλος λαβὼν τὸν θύλακον καὶ ἀνοίξας, εὗρε τὰ μῆλα, ὀκτὼ ὄντα, καὶ τὴν ἐπιστολήν. ταύτην δὲ ἀναγνούς, ἔμαθεν ὅτι δέκα μὲν ἔπεμψεν ἐκεῖνος, ὀκτὼ δὲ νῦν μένει ἐν τῷ θυλάκῳ. ὥστε χαλεπαίνων ἐλοιδόρησε τὸν δοῦλον καὶ ἔλεξε τοιάδε· ψευδὴς καὶ ἄπιστος εἶ, ὦ ἄνθρωπε, ὅστις δέκα μῆλα λαβὼν ὀκτὼ μόνον ἀπέδωκας. διὰ τί τὰ δύο ἔκλεψας; τῷ δὲ ἀνωφελὲς καὶ ἀνόητον ἔδοξεν εἶναι, ψευδῆ πρόφασιν κατασκευάζειν· ἡ γὰρ ἐπιστολή, ἔφη πρὸς ἑαυτὸν, εἶδέ με ἐσθίοντα καὶ πάντα δήπου ἤγγειλε. ὥστε πάντα ὡμολόγησε καὶ πολὺ δακρύων ᾔτησεν αὐτὸν συγγνώμην ἔχειν. καὶ ἐκεῖνος συνέγνω αὐτῷ, καὶ ἀπῆλθε.*

## XXX.

*αὖθις δὲ ὁ δεσπότης ἔπεμψε τὸν δοῦλον πρὸς τὸν αὐτὸν φίλον, κελεύσας φέρειν ὡς πάροιθεν τὸν θύλακον, ἔχοντα εἴκοσι μῆλα καὶ ἐπιστολὴν. πάντα δὲ ἐγένετο ὥσπερ καὶ πρότερον. ἀχθόμενος γὰρ τῷ καύματι τοῦ ἡλίου, καὶ δεινὴν δίψαν ἔχων, ἐβούλετο ἐσθίειν τὰ μῆλα. φοβούμενος δὲ τὴν ἐπιστολὴν, ὡς εἰδυῖαν ὁπόσα μῆλά ἐστι, πρῶτον μὲν ἔκρυψεν αὐτὴν ὑπὸ μέγαν τινὰ λίθον, καὶ ἀποχωρήσας μακρὰν ἐντεῦθεν, ἐξεῖλεν αὖθις δύο μῆλα καὶ κατέφαγε. ταῦτα δὲ ποιήσας ἀπῆλθεν αὖθις πρὸς τὸν λίθον καὶ ἀνελὼν τὴν ἐπιστολὴν κατέθηκεν ἐς τόν θύλακον, ἡδόμενος τῇ ἑαυτοῦ τέχνῃ, καὶ λέγων· ὦ ἐχθίστη*

γραφή, νῦν δὴ καλῶς σὲ ἐξηπάτησα, πρότερον πάντα κατ' ἐμοῦ ἀγγείλασαν.

## XXXI.

ἐλθὼν δὲ πρὸς τὸν φίλον, ἀπέδωκε τὸν θύλακον μῆλα ἔχοντα δυοῖν δέοντα εἴκοσι. ὁ δὲ ἀνοίξας ὥσπερ τὸ πρὶν καὶ εὑρὼν ἐκ τῆς ἐπιστολῆς ὅτι αὖθις ἐλλείπει τι τοῦ ἀριθμοῦ, καὶ οὐ πάντα ἔνεστιν, ὅσα ἔπεμψεν ἐκεῖνος, τότε δὴ σφόδρα ὠργίζετο τῷ δούλῳ, ὡς τὸ δεύτερον ἀπίστῳ ὄντι καὶ ἀναιδεῖ. ὁ δὲ θαυμάσας σφόδρα, πῶς ἄρα εἶδεν ἡ ἐπιστολὴ ὅσα ἔδρασε, ὑπὸ λίθῳ μακρὰν κατακειμένη, καὶ δείσας ὑπερφυῶς, πάντα ἔλεξε τῷ φίλῳ, εἰπὼν τοιάδε· ἀλλ' οὔποτε αὖθις ἄπιστος ἔσομαι, ὦ ἄριστε· νῦν γὰρ μανθάνω, ὅτι οὔποτε οἷός τ' εἰμὶ ἐξαπατῆσαι τὰς καταράτους γραφὰς ταύτας, αἵπερ πάντα ἀεὶ εἶδον καὶ ἔγνωσαν. καὶ τὸ λοιπὸν οὔποτε ἔτι ἔκλεψεν οὐδέν.

## XXXII.

οἱ Αἰθίοπες γῆν οἰκοῦντες πρὸς μεσημβρίαν τετραμμένην, τὸ ὕδωρ τιμιώτατον εἶναι νομίζουσι· ἐν δὲ τῇ αὐτῇ γῇ πιθήκων ἐστὶ γένος, ἄλλως τε φρονίμων ὄντων καὶ οὐχ ἥκιστα τὸ ὕδωρ δεινῶν εὑρίσκειν. τοῦτο δὲ τῇ ὀσμῇ, ὡς εἰκός, εὑρίσκουσι, διὰ πολλοῦ ἀπόντες. ὥστε οἱ βάρβαροι ἑλόντες τῶν πιθήκων τινὰ καὶ ἱμάντι τὸ σκέλος δήσαντες ἄγουσιν αὐτὸν διὰ τῆς γῆς. καὶ ὁ πίθηκος τέως μὲν ἑκὼν ἀκολουθεῖ· ἐξαίφνης δὲ ὀσμὴν λαβὼν ὡς ἀπὸ τοῦ ὕδατος, ἐνταῦθα δὴ οὐκέτι θέλει μετὰ τῶν ἀγόντων



ἰέναι, ἀλλὰ τὴν ὀσμὴν βούλεται μετελθεῖν. καὶ ὁ μὲν ἄγει τὸ ἐντεῦθεν, ἱμάντι δεδεμένος, οἱ δὲ ἀκολουθοῦσι.

## XXXIII.

ἦν δέ ποτε Αἰθίοψ τις, πάνυ ὠμὸς ὢν τοὺς τρόπους, ὃς τῷ πιθήκῳ οὐδὲν ὕδωρ ἐδίδου πίνειν· ὥστε πάνυ ταλαιπώρως εἶχε τὸ θηρίον. ἔφη γὰρ ὁ ἄνθρωπος τάδε· οὗτος οὔποτε πίνων οὐδὲν, πολὺ μᾶλλον ἐπιθυμήσει ὕδωρ εὑρίσκειν. καὶ ἦγεν αὐτὸν τοὺς πόδας, ὡς πρότερον ἐλέγομεν, δεδεμένον ἱμάντι. καὶ ὁ πίθηκος δεινοτάτην δὴ ἔχων δίψαν, σφόδρα ἐσπούδαζεν ἐπὶ τῷ εὑρεῖν τὸ ὕδωρ, καὶ πολλὰς κρήνας ὀσφραινόμενος ἐξεῦρεν, τὴν ῥῖνα πρὸς τῇ γῇ ἔχων ὥσπερ κύων ἐλάφους ἰχνεύων. ὁ δὲ Αἰθίοψ, οὕτως εὑρὼν κρήνην, αὐτὸς μὲν ἔπινε, τὸν δὲ πιστὸν πίθηκον οὐδὲ προσελθεῖν εἴα.

## XXXIV.

ὁ δὲ πίθηκος τοῦτο ἰδὼν ἐσχετλίαζε· ἀχάριστος γὰρ ἔδοξεν εἶναι καὶ ἀναιδὴς ὁ ἀνήρ, ὅστις δι' αὐτοῦ εὑρὼν τὸ ὕδωρ οὐδὲν θέλει μεταδοῦναι. ὥστε ἔφη πρὸς ἑαυτὸν τάδε· ὁ δεσπότης πίνει καὶ οὐδὲν ἐμοῦ φροντίζει τὸ παράπαν. ἐγὼ οὖν τοῖς ὀδοῦσι διασχίσω τὸν ἱμάντα, καὶ ἄπειμι φυγῇ ὡς τάχιστα. ὁ δὲ ἄνευ ἐμοῦ οὐδέποτε δυνήσεται εὑρίσκειν τὴν ὁδόν, ᾗ οἴκοθεν δεῦρο ἀφίκετο. καὶ οὕτως ἐν τῷδε τῷ ἐρήμῳ χωρίῳ ἀποθανεῖται. καὶ τοιαῦτα ἐν νῷ ἔχων ἀπῴχετο ὀδὰξ διασχίσας τὸν ἱμάντα καὶ ὁ δεσπότης ὥσπερ καὶ ἤλπιζε λιμῷ οὐ διὰ μακροῦ ἀπέθανεν.

## XXXV.

κλέπτης τις ἦν ποτὲ ὀνόματι Θῆπος, ὃς πολλὰ παντοίαις τέχναις κλέψας πάνυ ἐλλόγιμος ἐγένετο. οὗτος γὰρ εἰς τὴν ἀγοράν ποτε ἐλθών, λίθον τινὰ τιμιωτάτην ἤθελεν ἀγοράζειν. καὶ λαβὼν τὴν λίθον ἔλεξε πρὸς τὸν κάπηλον τοιάδε. ὦ ἄνθρωπε, ξένος μέν εἰμι καὶ πόρρωθεν ἀφῖγμαι· καὶ διὰ τοῦτο οὔπω ἀργύριον ἔχω, οἷον ἐνθάδε νομίζεται. θέλεις οὖν ἀντὶ ἀργυρίου τούτους τοὺς στατῆρας λαβεῖν; καὶ ἅμα ταῦτα λέγων ἔδειξεν αὐτῷ θυλάκον χρυσῶν στατήρων πλήρη. ὁ δὲ κάπηλος ἔμπειρος ὢν τῶν τοιούτων, ἐξεῖλεν ἕνα τῶν στατήρων, καὶ βασάνῳ δοκιμάσας ἔμαθε τῷ ὄντι χρυσοῦν ὄντα.

## XXXVI.

καὶ δέκα στατῆρας ἔλαβε παρὰ τοῦ ξένου, καὶ ἔδωκεν αὐτῷ τὴν λίθον. ὁ δὲ λαβὼν τὸν θύλακον καὶ τὴν λίθον ἀπῆλθε πάνυ ταχέως ἐκ τῆς ἀγορᾶς. μετὰ δὲ χρόνον τινὰ οὐ πολὺν ἐπῆλθε πρὸς τὸν κάπηλον τοξότης τις, ὡς πολλὴν σπουδὴν ἔχων καὶ φόβον περί τινος. ἐν δὲ ταύτῃ τῇ πόλει οἱ τοξόται τῆς ἀγορᾶς εἰσι φύλακες, ἐξετάζοντες πάντα καὶ τοὺς κλέπτας ἰχνεύοντες. οὗτος οὖν ἐλθὼν ἤρετο τὸν κάπηλον τοιάδε· Πότερον ὦ ἄνθρωπε ἀρτίως παρῆν ξένος τις, λίθους τιμίας ἀγοράζων καὶ στατῆρας χρυσοῦς δὴ ἀντιδιδούς; ὁ δὲ κάπηλος, ὡς εἰκὸς, δείσας περὶ τῆς λίθου, καὶ ὑποπτεύσας τὸν Θῆπον κλέπτην εἶναι, πάντα τῷ τοξότῃ λέγων ἀπέδειξε τοὺς στατῆρας.



## XXXVII.

ὁ δὲ τοξότης, πάντα ταῦτα δή, ἔφη, οὕτως ἐστὶν ὡς ἐγὼ ὑπώπτευον. τοὺς γὰρ στατῆρας, οὓς χρυσοῦς ἐνόμιζες εἶναι, τῇ βασάνῳ τρίψας, ἤδη πολλάκις εἶδον· καὶ χρυσοῖ μὲν οὔκ εἰσι τὸ παράπαν, ἀλλὰ ψευδεῖς, ἐκ χαλκοῦ πεποιημένοι· ἐπίκειται δὲ χρυσός, ὥστε πρὸς τοιούτους ἀνωφελὴς δὴ ἡ βάσανός ἐστι. ἀλλὰ δός μοι τὸ ψευδὲς χρυσίον, ὅπερ μαρτύριόν μοι δώσει κατὰ τοῦ κλέπτου. καὶ λαβὼν τοὺς δέκα στατῆρας ἀπῴχετο ταχέως ὡς μετὰ τὸν Θῆπον. ὁ δὲ κάπηλος πολλὰς ἡμέρας ἔμενε, ἐλπίζων ἰδεῖν τὸν τοξότην μετὰ τῆς λίθου ἥκοντα, καὶ τοῦ κλέπτου. ὡς δὲ οὐδέτερος οὐκέτι ἦλθε, συνῆκε τέλος τὸ πρᾶγμα· ὁ γὰρ τοξότης φίλος ἦν τῷ κλέπτῃ καὶ οὗτοι ἐβούλευσαν τὸ πρᾶγμα.

## XXXVIII.

πρότερον μὲν βασιλεῖς ἦρχον τῶν Λαμίων· μετὰ δὲ χρόνον τινὰ ἀπελάσαντες τοὺς βασιλέας οἱ Λάμιοι εἵλοντο ἀντὶ αὐτῶν ἄλλους ἄρχοντας, οὓς ταγοὺς ὠνόμασαν. ἐκ δὲ τούτου ἦσαν στάσεις· καὶ οἱ μὲν πλείονες εὖνοι ἦσαν τοῖς ταγοῖς, οἱ δὲ εὐγενεῖς παῦροι ὄντες δυσμενῶς εἶχον, καὶ οὐκ ἤθελον πείθεσθαι. οἱ δὲ ταγοὶ γνόντες τοῦτο ἐχαλέπαινον καὶ βίᾳ ἐχρήσαντο, ὥστε ἐκεῖνοι οὐκέτι ἀντέχειν ἐδύναντο. οὐ μὴν ἀλλὰ τοῖς ταγοῖς ὠργίζοντο, καὶ πολλοὺς καὶ γελοίους λόγους ἔπλασσον περὶ αὐτῶν. καὶ ἐν πολλῇ ἐλπίδι ἦσαν παῦσαι τὴν τιμὴν καὶ τὴν εὔκλειαν τῶν ταγῶν τούτοις τοῖς λόγοις. οὐδεὶς γὰρ

ἄρχειν δύναται ἐπιεικῶς καὶ πρεπόντως, γελοῖος γενόμενος τοῖς ἀρχομένοις.

## XXXIX.

καὶ διὰ ταύτην τὴν αἰτίαν ῥᾷον κατεγέλων τῶν ταγῶν, διότι οἱ μὲν βασιλεῖς εὐγενεῖς ὄντες πάλαι τῶν ἡδονῶν τῶν περὶ τὸ σῶμα ἔμπειροι ἦσαν, οἷον θήρας, καὶ ἱππασίας καὶ γυμναστικῆς, καὶ δὴ καὶ τῶν πολεμικῶν, οἱ δὲ ταγοὶ ἐκ τοῦ πλήθους γενόμενοι πολὺ ἀπειρότεροι ἦσαν τῶν τοιούτων. οἱ δὲ λόγοι ἦσαν τοιοίδε· ταγός τις τοξεύων τὴν αἰχμὴν τοῦ ὀϊστοῦ πρὸς ἑαυτὸν ἔτρεπε. καί, ταγός τις ἐπὶ θήρᾳ ἐξιὼν καὶ ἐλέφαντα ἰδών, πέτραν ἐνόμιζεν εἶναι. καί, ταγός τις ἱππεύων ἐν τῇ ὁδῷ ἐς φρέαρ ἐξέπεσεν, καὶ οὐκ ἐπιστάμενος νεῖν ἠφανίσθη. καί, ταγός τις λύκῳ περιτυχὼν ἐπὶ δένδρον ἤθελεν ἀναβῆναι, καὶ καταπεσὼν ὑπὸ τοῦ λύκου ἀνηρπάσθη. καὶ ταγός τις ξίφος περιζωσάμενος, καὶ ἐμποδισθεὶς τῷ κολεῷ κατέπεσε καὶ τῆς κεφάλης κατεαγὼς ἀπώλετο.

## XL.

ἄλλοτε δὲ ὁ Θῆπος σμάραγδόν τινα τιμιωτάτην ἐβούλετο κλέψαι παρὰ τοῦ καπήλου. καὶ ἐλθὼν πρὸς τὸν κάπηλον καὶ τὴν σμάραγδον ἑλόμενος, ἠρώτησε πόσου ἀξία ἐστί· ὁ δὲ ἔφη δέκα ταλάντων. ὁ Θῆπος ἀπεκρίνατο τοιάδε· τήνδε μὲν οὖν ὠνήσομαι παρὰ σοῦ· τὴν δὲ τιμὴν τοσαύτην οὖσαν οὐδαμῶς ἤνεγκον, ἀλλὰ τὸ ἀργύριον οἴκοι κατέλιπον. καὶ ἄλλα τινὰ δεῖ με ἐν τῇ πόλει



πραγματεύεσθαι, καὶ ἔπειτα οἴκαδε ἰέναι· ὥστε πάντα ἐκτελέσας αὖθις παρὰ σὲ εἶμι, καὶ αὐτὸς μετ' ἐμοῦ πρὸς τὸν οἶκον πορεύσει φέρων τὴν σμάραγδον· καὶ ἀφικόμενος ἐκεῖσε καὶ λαβὼν τὴν λίθον ἀποδώσω σοι τὸ ἀργύριον. καὶ οὕτως οὐδεὶς ἔσται σοι κίνδυνος περὶ τῆς τιμῆς· ἐμὲ γὰρ οὔπω γιγνώσκεις, οὐδὲ ἐπίστασαι ὅτι δίκαιός εἰμι.

## XLI.

ταῦτα δὲ ἀκούσας ἥσθη ὁ κάπηλος καὶ οὕτω ξυνέβη τὸ πρᾶγμα· περὶ γὰρ τῶν τιμιωτάτων τοιούτῳ τινὶ τρόπῳ ὡς ἐπὶ τὸ πολὺ ἐγίγνετο. καὶ ἀπιὼν ὁ Θῆπος ἦλθε πρὸς ἰατρὸν ἐλλόγιμόν τινα ὀνόματι Γοῦλον. καὶ εἶπε τοιάδε· ὦ Γοῦλε, ἔστι μοι ἀδελφὸς τὰ μὲν ἄλλα πάνυ εὖ ἔχων ὑγιείας πέρι, ἑνὶ δὲ τινὶ πράγματι νοσῶν καὶ μαινόμενος. ἀεὶ γὰρ περὶ δέκα ταλάντων λαλεῖ, καὶ πανταχοῦ πάντας ἀνθρώπους αἰτεῖ καὶ πράγματα παρέχει, ὥσπερ δὴ ὀφείλοντας ταῦτα ἑαυτῷ. καὶ ἄλλοις μὲν γέλοιον δοκεῖ εἶναι τὸ πρᾶγμα, ἐμοὶ δὲ λυπηρότατον. καὶ παράδειγμά σοι δώσω· δεῦρο γὰρ παρὰ σὲ ἀφικόμενος, περὶ δέκα ταλάντων που διαλέξεται, καὶ αἰτήσει σε, οὐδεπώποτε ἰδόντα αὐτόν.

## XLII.

καὶ ὁ ἰατρὸς γνοὺς τὸ πρᾶγμα ἀπεκρίνατο τοιάδε. ὦ ξένε, φανερός ἐστί μοι ὁ ἀδελφὸς σου νοσῶν τὴν κεφαλήν. γένος γάρ ἐστι μανίας τοιοῦτον· πολλάκις γὰρ τἄλλα μὲν ἔμφρων ἐστὶν ὁ ἄνθρωπος, περὶ δὲ ἑνὸς μόνου πράγματος

*μέμηνε. σὺ οὖν ἄγε πρὸς ἐμὲ δεῦρο τὸν ἀδελφὸν, ἐγὼ δὲ αὐτὸν ὡς ἄριστα θεραπεύσω. ὁ δὲ Θῆπος πρὸς τὸν κάπηλον ἀπιὼν, ἐκέλευσεν αὐτὸν δοῦναι ἑαυτῷ τὴν σμάραγδον, καὶ ἕπεσθαι πρὸς τὸν οἶκον· ὁ δὲ δοὺς τὴν λίθον αὐτὸς προῆλθεν ἡγούμενος πρὸς τὴν Γούλου οἰκίαν. ὁ δὲ Θῆπος ἤμελλε κόπτειν τὴν θύραν, ὁ δὲ κάπηλος αἰσθόμενος ὅτι ἡ Γούλου οἰκία ἐστί, καὶ ὑποπτεύσας τι εἶπεν αὐτῷ ἐξαίφνης·*

## XLIII.

*ἀλλὰ τί δὴ πρὸς ταύτην τὴν οἰκίαν προσήγαγές με; ἐνταῦθα γὰρ οἰκεῖ ὁ Γοῦλος. ὁ δὲ Θῆπος εἶπε Ἀληθῆ λέγεις· ἐγὼ δὲ τῷ Γούλῳ συγγενής εἰμι, καὶ ἐπίτροπός ἐστιν ἐμός. καὶ ταῦτα λέξας καὶ εἰσελθὼν ὁ Θῆπος τὸν μὲν κάπηλον ἐν τῇ αὐλῇ ἔλιπεν, αὐτὸς δὲ παρὰ τὸν Γοῦλον εἰσῄει καὶ ἤγγειλεν αὐτῷ ὅτι πάρεστιν ὁ ἀδελφός. καὶ ταῦτα ἀγγείλας ἐξῆλθε καὶ ἐδέξατο τὴν σμάραγδον παρὰ τοῦ καπήλου, κελεύσας αὐτὸν εἰσιέναι διὰ τῆς θύρας παρὰ τὸν ἐπίτροπον, καὶ λαβεῖν τὴν τιμήν. καὶ εἰσελθόντα αὐτὸν πρῶτα περὶ ἄλλων πολλῶν ἠρώτησεν ὁ Γοῦλος. καὶ ὁ κάπηλος ἐθαύμαζε μὲν διότι οὐδὲν περὶ τοῦ ἀργυρίου λέγει, ᾐσχύνετο δὲ καὶ οὐδὲν αὐτὸς ἐτόλμα λέγειν.*

## XLIV.

*Τέλος δὲ, οὐκέτι δυνάμενος ἀνέχεσθαι, Ἀλλὰ τί οὐδέν πω, ἔφη, ἔλεξάς μοι περὶ τῶν δέκα ταλάντων; ὁ δὲ ἀκούσας*



*ταῦτα, ἅπερ προεῖπεν ὁ Θῆπος, ἐγέλασε μέν τι, καὶ ἀπεκρίνατο τοιάδε. θάρσει, ὦ φίλτατε, περὶ τῶν ταλάντων· ὁ γὰρ ἀδελφός σου πάντα μοι διηγήσατο, καὶ οἰκτείρω σε ὡς πλεῖστα, τοσούτου ἀργυρίου ἐνδεᾶ ὄντα. ὁ δὲ ὑποπτεύσας τι καὶ δείσας ἅμα καὶ ἀγανακτῶν Ποῖος ἀδελφός; ἔφη, καὶ πῶς λέγεις ὅτι οἰκτείρεις; ἀλλὰ κελεύω σε παύσασθαι τῆς φλυαρίας, καὶ ἀποδοῦναί μοι ὡς τάχιστα τὸ ἀργύριον. μετὰ δὲ ταῦτα ἐξήτασε ἔτι μᾶλλον ὁ Γοῦλος τὸ πρᾶγμα, καὶ αὐτός πως δεδιώς καὶ τὴν ἀπάτην εὑρίσκων. καὶ λόγῳ οὐ μακρῷ ἐδηλώθη πάντα· ὁ δὲ Θῆπος ἐν τούτῳ ἐξέφυγε ἤδη φέρων τὴν σμάραγδον.*

## XLV.

*οἱ Θεσσαλοὶ τὸν Θεὸν ἐνίοτε Πρόνοιαν καλοῦσι, διότι πάντα προνοεῖ. εἶπε δὲ Θεσσαλός τις γεωργῷ ποτε, πῶς ἔχεις, ὦ γεωργέ; ὁ δὲ ἀπεκρίνατο Πάνυ ταλαιπώρως. ὁ δὲ ἕτερος Διὰ τί; ἔφη· ὁ δὲ γεωργός τοιάδε ἔλεξε· Διὰ ταύτην τὴν Πρόνοιαν· ἡ μὲν γὰρ γῆ ἐπιεικῶς ἀγαθὴ καὶ χρηστή ἐστι, οὐδὲ τῇ ὥρᾳ μέμφομαι· ἡ δὲ Πρόνοια πάνυ δυσμενής ἐστι· ἄλλοτε μὲν γὰρ τὸν σῖτόν μοι ἀδικεῖ, ἄλλοτε δὲ τὰς ἐλαίας, καὶ ἀεὶ τι ἐπιβουλεύει μοι ὥστε βλάψαι τὸν καρπόν. ἀλλ' οὐ δεῖ ἐλπίδα ἀποβαλεῖν εὐσεβῆ γε ὄντα. καὶ ὁ ἕτερος θαυμάσας Ἀλλὰ τίς ἐλπίς, ἔφη, ἔστι, ᾧ δυσμενὴς τυγχάνει οὖσα ἡ Πρόνοια; ὁ δὲ γεωργός Ἀμέλει, ἔφη· ἔστι γὰρ Θεὸς ἐν τῷ οὐρανῷ ὃς τὴν Πρόνοιαν καθέξει.*

## XLVI.

*ἦν δὲ ποτε Θρᾷξ τις, ὃς διενοήθη ἐς Ἑλλάδα ἀποδημεῖν, καὶ διὰ τῆς γῆς πανταχοῦ μόνος ὁδοιπορεῖν. τοῦτο δὲ μόνον ἦν αὐτῷ ἐμποδὼν, ὅτι τῇ γλώσσῃ οὐδαμῶς ἐδύνατο χρῆσθαι· τέλος δὲ ταῦτα τὰ ἔπη μελετήσας κατέμαθε, Πότερον λαγῷα ἔχεις μοι δοῦναι; καὶ πανταχοῦ ἐς πανδοκεῖον ἐλθὼν ταῦτα ἠρώτα τὴν πανδοκεύτριαν, καὶ τὰ λαγῷα εὑρὼν καὶ καταφαγών πάνυ ἥσθη. ἀφικόμενος δὲ ποτε ἐς Ἀθήνας, καὶ πανδοκεῖον ζητῶν, εἶδε συχνοὺς τινας ἀνθρώπους ἐς τὸ πρυτανεῖον εἰσιόντας καὶ ἔδοξε δὴ αὐτῷ πανδοκεῖον εἶναι μέγιστον. ὥστε εἰσῄει καὶ αὐτὸς, καὶ εὑρὼν δοῦλον τινα παρὰ τῇ θύρᾳ καὶ προσελθὼν μεγάλῃ φωνῇ εἶπε τοιάδε· Πότερον λαγῷα ἔχεις μοι δοῦναι; οἱ δὲ παρόντες πάντες ἐνεγέλων αὐτῷ, καὶ αἰσχυνθεὶς ἀπῴχετο.*

## XLVII.

*ἀγαθὸν μέν ἐστι δήπου ἡ σοφία καὶ χρήσιμον ἐς τὰ τοῦ βίου τοῖς ἀνθρώποις· ἐνίοτε δὲ οἷόν τ᾽ ἐστὶ πολλὰ μὲν μεμελετηκέναι καὶ ἐπίστασθαι εἶναι δὲ πάνυ ἄφρονα. παράδειγμα δὲ τούτου σχολαστικός τις πάλαι ποτὲ ἐγένετο, ὃς πολλὰ μὲν βιβλία ἀνεγίγνωσκεν, ἐς δὲ τὸν καθ᾽ ἡμέραν βίον σφόδρα γέλοιος ἐφαίνετο ὤν.*

*ἰδὼν γάρ ποτε θέρους ὄντος ποταμόν, καὶ λούεσθαι βουλόμενος, ἐς τὸ ὕδωρ κατεπήδησε. νεῖν δὲ οὐδαμῶς ἐπιστάμενος, καὶ δεδιὼς καὶ κυλινδούμενος ὥσπερ κῆτος ἐν τῷ ὕδατι, τέλος σχεδὸν ἀπεπνίγη· παριὼν δέ τις*



*γεωργὸς ἔσωσεν αὐτὸν σχοινίῳ ἐξέλκων. σωθεὶς δὲ ἔλεξε τοιάδε· σήμερον μὲν τοῦ ὕδατος ἀφέξομαι· αὔριον δὲ οἴκοι μαθὼν τὴν τέχνην τοῦ νεῖν, ἔπειτα πεῖραν λήψομαι αὖθις τοῦ ποταμοῦ.*

## XLVIII.

*ἄλλοτε δὲ ὁ σχολαστικὸς ἵππον τρέφων διὰ τὴν πολυτέλειαν ἐχαλέπαινε, καὶ τῷ δούλῳ ἔφη· οὐ δεῖ τοσοῦτον χόρτον δοῦναι τῷ ἵππῳ· ἀπὸ μείονος γὰρ δαπάνης δεῖ αὐτὸν τρέφεσθαι· ὁ δὲ ἵππος οὐκ ἔχων ἱκανὸν ἐσθίειν, χρόνον τινὰ νοσῶν ἐτελευτησεν. ὁ δὲ σχολαστικὸς σφόδρα ἐλυπεῖτο, ὀδυρόμενος καὶ δεινὸν ποιούμενος· ἔφη γὰρ τοιάδε· ὡς δυστυχὴς δή εἰμι, καὶ τοσοῦτον πόνον μάτην ἐπόνησα· οὗτος γὰρ ὁ ἵππος μαθὼν μηδὲν ἐσθίειν καὶ εὐτελὴς ἐμοὶ καὶ χρήσιμος γενόμενος, ἀφρόνως τέθνηκε. καὶ πάντα τὸν πόνον τόνδε αὖθις δεῖ ἐξ ἀρχῆς γενέσθαι. καὶ ἄλλον ἵππον ὠνούμενος αὖθις τὸν αὐτὸν τρόπον ἐχρῆτο· ὥστε καὶ τοῦτον ὡσαύτως λιμῷ ἀπώλεσε, πάνυ δυστυχὴς δὴ ὤν.*

## XLIX.

*ἄλλοτε ὁ σχολαστικὸς περὶ φίλου τινὸς ἀκούσας ὅτι νοσεῖ, ἀφικόμενος πρὸς τὴν οἰκίαν, εἰσῄει παρὰ τὴν κλίνην. ἰδὼν δὲ τὸν ἕτερον σιγῇ κατακείμενον καὶ πάνυ ταλαιπώρως ἔχοντα, Ἄγε δὴ, ἔφη, ὦ φίλτατε, πῶς ἔχεις; ὁ δὲ μόνον οὐ τεθνηκὼς οὐδὲν δὴ οἷός τ᾽ ἦν ἀποκρίνασθαι· ὁ δὲ σχολαστικὸς δυσχεραίνων Οὔκουν ἀντερεῖς οὐδέν, ἔφη, τῷ ἀγαθῷ ἀνδρὶ τῷδε καὶ φίλῳ; ὃς τοσούτου πόνου οὐκ*

ἐφεισάμην, ἀλλὰ τῶν πραγμάτων ἀμελήσας ἦλθον παρὰ σὲ καὶ παραμυθοῦμαι; ὁ δὲ μετεστράφη μὲν ὡς ἀλγῶν, ἀπεκρίνατο δὲ οὐδὲν μᾶλλον. ἀλλὰ καὶ αὐτός ποτε νοσοίην, ἔφη ὁ σχολαστικός, καὶ σοὶ παρ' ἐμὲ ἐλθόντι οὕτω χρησαίμην.

## L.

ἐβούλετό ποτε ὁ σχολαστικὸς τὴν οἰκίαν πωλεῖν, καὶ ἰὼν εἰς τὴν ἀγορὰν τοῖς ἐκεῖσε συλλεγεῖσι περὶ τούτου διελέγετο, ἕνα λίθον ἅμα παρέχων δείγματος ἕνεκα. ἄλλοτε δὲ τοῦτο ἐπεθύμει εἰδέναι, ποίῳ δή τινι ὅμοιός τίς ἐστι καθεύδων; ὥστε κάτοπτρον ὠνησάμενος παρὰ τὴν κλίνην κατέθηκε, καὶ τοὺς ὀφθαλμοὺς συγκλείσας ἤλπιζέ τι καταμαθεῖν.

ἄλλοτε δὲ φίλῳ τινὶ περιτυχὼν σκυθρωπὸς ἐγένετο οὐδὲ προσβλέπειν ἤθελεν. τοῦ δὲ ἐρομένου διὰ τί δυσκόλως ἔχει, Ὅτι ἐχθές, ἔφη, ἐνύπνιον ἰδὼν ἔδοξά σε ἀσπάζεσθαι· σὺ δέ οὐδὲν ἀποκρινάμενος μετεστρέφου.

## LI.

ἄλλοτε δὲ ἰατρῷ περιτυχών ὁ σχολαστικὸς, ᾐσχύνετο καὶ κατόπιν δένδρου κρύψας ἑαυτὸν λανθάνειν ἐπειρᾶτο. ὁ δὲ ἰατρὸς ἰδὼν αὐτὸν καὶ ἐγγελῶν ἤρετο τοιάδε· Διὰ τί οὕτως αἰσχύνει καὶ κρύπτεις σεαυτόν; πότερον ἥμαρτές τι λάθρα καὶ ἐμὲ ἠδίκησας; ὁ δὲ Τοῦτο μόνον ἀδικῶ, ἔφη, ὅτι πάλαι οὐδεμιᾷ νόσῳ ἀσθενῶ, ἀλλὰ ἐν πάσῃ ὑγιείᾳ τυγχάνω ὤν.



ἄλλοτε δὲ ὄρνιθας ἐπὶ δένδρου καθημένας ἰδὼν, ὁ σχολαστικὸς προσελθὼν ἡσύχως καὶ ἐκτείνας τὸ ἱμάτιον, ἔσεισεν ἰσχυρῶς τὰ φύλλα, ἐλπίζων δὴ ἐς τὸν κόλπον τοὺς ὄρνιθας πεσεῖσθαι.

## LII.

ἄλλοτε δὲ πίθον οἴνου ἡδίστου καὶ τιμιωτάτου λαβὼν ἐπέτρεψε τῷ δούλῳ τῷ πιστοτάτῳ δοκοῦντι εἶναι φυλάσσειν, πρότερον σφραγῖδα τῷ στόματι ἐπιθείς. ὁ δὲ δοῦλος, εἰδὼς τοῦ δεσπότου τὴν σοφίαν, κάτωθεν ἔτρησε τὸν πίθον, καὶ χρόνον τινὰ πολὺν ἐλάνθανεν ἐξελὼν τὸν οἶνον. τέλος δὲ ὁ σχολαστικὸς, μέλλων τοὺς φίλους ξενίζειν ἐκέλευσε τὸν δοῦλον ἀνοίξαντα τὸν πίθον παρόντων τῶν φίλων, τὸν οἶνον διανέμειν. ἀνοιχθεὶς δὲ δῆλος ἐγένετο ὁ πίθος οὐκέτι πλήρης ὤν. οἱ δὲ φίλοι ᾐτιῶντο εὐθὺς τὸν δοῦλον ὡς κλέψαντα, δείξαντες ἅμα τὸ τρῆμα. ὁ δὲ σχολαστικὸς ἐνεγέλα αὐτοῖς ὡς ἀνοήτοις οὖσι· κάτω μὲν γὰρ, ἔφη, τέτρηται ὁ πίθος· ἄνω δὲ ἐλλείπει ὁ οἶνος.

## LIII.

Χανὸς μέγας ὢν βασιλεὺς, μέλλων τελευτᾶν, συνεκάλεσε τοὺς δέκα παῖδας. καὶ ἐκέλευσεν αὐτοὺς ὀϊστὸν ἕνα φέρειν ἕκαστον, καὶ συλλεγέντας τοὺς ὀϊστοὺς δεσμοῖς τρισι περιδῆσαι. γενομενου δὲ τούτου, ᾔτησε τὸν γεραίτατον λαβόντα διαρρῆξαι. ὁ δὲ τὰ ἄκρα ταῖς χερσὶ λαβὼν καὶ τῷ μέσῳ ἀντιβὰς τῷ ποδὶ, ὅμως οὐκ ἐδύνατο· τότε δὴ ὁ πατὴρ τοὺς ἑτέρους ἐκέλευσεν ἐφεξῆς τὸ αὐτὸ ἐπιχειρεῖν·

*ἀλλ' οὐδεὶς δὴ οἷός τ' ἦν. ἐνταῦθα δὲ τὸν νεώτατον καλῶν εἶπε διαλῦσαι τοὺς οἰστοὺς καὶ ἕκαστον χωρὶς ῥῆξαι· ὅπερ ῥᾷστα δὴ παῖς ἔτι ὢν διεπράξατο. καὶ ὡσαύτως ὑμᾶς, ἔφη ὁ Χανός, φιλίᾳ μὲν δεδεμένους οὐδεὶς νικήσει, καθ' ἕκαστον δὲ γενομένους πάντες ῥᾳδίως ἀπολοῦσιν.*

## LIV.

*Ἀριστοφανῆς κωμῳδίαν ἔγραψε περὶ Πλούτου, ἣ γελοιοτάτη ἐστί, καὶ ἡδονὴν παρέχει πολλὴν τῷ ἀναγιγνώσκοντι. Πλοῦτος γὰρ τὸ μὲν πρῶτον τυφλὸς ἦν, καὶ εἰκῇ ἅπασι συνεγίγνετο, εἴτε ἀγαθοῖς οὖσιν εἴτε κακοῖς. Ἀθηναῖος δέ τις ἀγαγὼν αὐτὸν ἐς Ἐπίδαυρον πρὸς Ἀσκληπιὸν τὸν θεόν, ἀπήλλαξεν αὐτὸν τῆς νόσου. γενομένου δὲ τούτου, πολλὰ καὶ θαυμαστὰ συνέβη. οἱ γὰρ κακοὶ οἱ πρότερον πλουτοῦντες ἐξαίφνης πένητες εὑρέθησαν· αὐτίκα γὰρ γραῦς τις, ἣν ἐθεράπευε νεανίας τις διὰ πλοῦτον, ἀπολιπόντος ἐκείνου, παρέρχεται πολλὰ λοιδορουμένη. καί τινες καὶ τῶν θεῶν, οὐδενὸς ἔτι θύοντος, ἐς ἐσχάτην πενίαν καὶ λιμὸν ἀφικνοῦνται.*

## LV.

*καὶ ὁ μὲν βασιλεὺς ἐν νῷ εἶχε τῷ στρατεύματι προσθέσθαι τι, ὥστε μείζω δύναμιν ἔχειν. ἦν δὲ μάντις ὀνόματι Ἄττος, ὃν πάντες ἄνθρωποι σφόδρα ἐτίμων διὰ τὴν σοφίαν. οὗτος δὲ ἀπεῖπε τῷ βασιλεῖ μὴ διαπράξασθαι ἃ βούλεται. ὁ δὲ βασιλεὺς ὀργισθεὶς κατεφρόνει αὐτοῦ καὶ ἐνεγέλα τῇ τέχνῃ καὶ ἤρετο τοιάδε. Πότερον τῇ μαντικῇ*



*ἐξευρεῖν δύνασαι ὃ ἐγὼ ἐν τῷ παρόντι ἐνθυμοῦμαι, εἰ ῥᾴδιόν ἐστι. ὁ δὲ βραχύ τι σιωπήσας ἔφη ῥᾴδιον εἶναι. ὁ δὲ βασιλεὺς γελῶν Ἀλλὰ τοῦτο, ἔφη, ἐν νῷ εἶχον, τόνδε τὸν λίθον μαχαίρᾳ διατέμνειν. ὁ δὲ μάντις λαβὼν τὴν μάχαιραν θαυμαζόντων πάντων διέκοψε τὸν λίθον.*

## LVI.

*καὶ ἦν ποτε ἑορτὴ τῷ θεῷ καὶ κατὰ τὸ νομιζόμενον ἔδει τὸν Σμινθέα λόγον λέγειν περὶ τοῦ θεοῦ, ἐς βῆμα ὑψηλὸν παρελθόντα. καὶ φοβούμενος περὶ ἑαυτῷ ὁ Σμινθεὺς φίλον παρεκαλέσατο· ῥᾶον γὰρ ἐδόκει ἔσεσθαι ἐν πολλοῖς ἀνθρώποις λέγειν, φίλου πιστοτάτου παρόντος. ὥστε τῆς ἡμέρας παραγενομένης, ἦλθε μετὰ τοῦ φίλου πρὸς τὸ βῆμα· καὶ λέξαντα ἐπῄνουν οἱ παρόντες. ἤρετο δὲ ὁ Σμινθεὺς ἀπιὼν τὸν φίλον, πῶς ἄρα ἤρεσκέ σοι ὁ λόγος; ὁ δὲ ἀπορῶν (ἤχθετο γὰρ τῷ λόγῳ) εἶπεν ὅτι βραχὺς ἦν. ὁ δὲ Σμινθεύς, Οὐ γὰρ ἤθελον, ἔφη, λυπηρὸς γενέσθαι τοῖς ἀκούουσιν. Ἀλλὰ ἦσθα ὅμως λυπηρός, ἔφη ὁ ἕτερος.*

## LVII.

*πάλαι ποτὲ ἦν τις ἀνὴρ τῶν ἐκεῖθεν, πλούσιος ὢν καὶ παντοῖα εἰδέναι ἐπιθυμῶν, ᾧ ὄνομα ἦν Μανδεφίλιος. οὗτος δὲ τριάκοντα ἔτη ἀπεδήμει πρὸς πάσας χώρας ὁδοιπορῶν, καὶ περὶ ἑκάστης πάντα παρὰ τῶν ἐνοικούντων ἀεὶ πυνθανόμενος. παράδειγμα δέ ἐστιν, ὡς θαυμάσια καὶ ἄπιστα οἱ ἄνθρωποι περὶ τῶν διὰ μακροῦ ἀπόντων μυθολογοῦσι· τοιάδε γὰρ λέγει· εἰσί που ἄνθρωποι, οἳ ἐν*

μόνον σκέλος ἔχουσι, ᾧπερ πηδῶντες πορεύονται. καὶ νῆσός ἐστιν, ἐν ᾗ δένδρα γίγνεται ἃ ἀντὶ καρποῦ ἄρνας σμικροὺς φέρει. καὶ ἐν τῇ πρὸς ἀντολὰς χώρᾳ ζῶά ἐστι κέρκον μὲν οὐδεμίαν ἔχοντα, κεφαλὴν δὲ ἑτέραν ὄπισθεν.

## LVIII.

μῦθον δὲ ἕτερον λέγει ὁ αὐτὸς τοιόνδε. ἐν πυργῳ τινὶ ἰσχυροτάτῳ ἦν παρθένος καλλίστη, ἣ τὸν ἀεὶ ἐκεῖσε παριόντα πάνυ φιλικῶς ἐδέχετο καὶ ἐξένιζε. ὁ δὲ ξένος παρ' αὐτῇ τὴν νύκτα πᾶσαν παρέμενε δειπνῶν καὶ διαλεγόμενος· καὶ ἅμα ἕῳ ἀπιών, ἔρωτι δεινῷ κατεχόμενος, ἐλιπάρει αὐτὴν σφόδρα γάμῳ ζευχθῆναι. ἡ δὲ ἀεὶ ἐθέλειν μὲν ἔλεγε, δεῖν δ' αὐτὸν ἀπιέναι καὶ τῇ ὑστεραίᾳ ἥκειν καὶ μηδὲν ὧν ὁρᾷ φοβεῖσθαι. ἥκων δὲ εὕρισκεν ἀντὶ παρθένου δράκοντα ἀγριώτατον. ἰδὼν δὲ καὶ φοβούμενος ὡς τάχιστα ἀπεχώρει· ἡ δὲ διώκουσα καὶ καταλαβοῦσα κατήσθιεν.

## LIX.

Ἐδεγάρδης, ὢν βασιλεὺς τῶν Βριτάννων, πάνυ μὲν σμικρὸς ἦν μέγεθος, τῷ δὲ σώματι ἴσχυε μᾶλλον ἁπάντων. καὶ ἔτυχέ ποτε ξενίζων Κενέθιον, Καλεδονίων τύραννον, καὶ οὗτος, ὡς τοῖς ἐκεῖθεν ἐνομίζετο, τῆς νυκτὸς σφόδρα μεθύων, ἐς πολὺν λόγον καὶ γέλωτα σὺν τοῖς περὶ αὐτὸν ἀφίκετο. σκώπτων δὲ εἶπε περὶ τοῦ Ἐδεγάρδου, τοῦτο μέντοι θαυμάζω τοῦ βασιλέως, πῶς ἄρα οὕτω σμικρὸς ὢν τοσούτων ἀνθρώπων ἄρχει. πάντων δὲ γελασάντων, ὁ



βασιλεὺς ἀκούσας τὸν θόρυβον ἤρετο τίς αἰτία ἐστὶ τοῦ γέλωτος. εἰπόντος δέ τινος, χαλεπαίνων ὁ Ἐδεγάρδης μεταπέμπεται τὸν Κενέθιον ἐς ῥητὸν τόπον τῇ ὑστεραίᾳ ἑαυτῷ συνελθεῖν.

## LX.

τοῦ δὲ Κενεθίου ἀσμένου ἐλθόντος (ἤλπιζε γὰρ χάριν τινά παρ' ἐκείνου λαβεῖν), ὁ Ἐδεγάρδης ξιφίδια δύο ὑπὸ τοῦ ἱματίου ἔχων ἔδειξε, καὶ ὑπομνήσας αὐτὸν τοῦ τῇ προτεραίᾳ λεχθέντος, εἶπε τοιάδε· θαυμάζεις δὴ ὦ ἀδελφέ, πῶς ἄρα ἐγὼ τοσούτων ἄρχω· σεαυτῷ δέ, ὡς εἰκὸς, ἀξιώτερος δοκεῖς εἶναι τὴν ἐμὴν ἀρχὴν κεκτῆσθαι. ἄμεινον δὲ ἔσται ἀγωνιζομένους διαγνῶναι, ὥστε λαβὼν ξιφίδιον ἀμύνου. ὁ δὲ φοβηθεὶς, ἰσχυρότατος γὰρ ἐλέγετο εἶναι, πρὸς πόδας αὐτῷ πεσὼν ἐλιπάρει συγγνώμην ἔχειν. πάντα γὰρ ἐγὼ, ἔφη, μεθύων καὶ διὰ ἄνοιαν εἶπον. ὁ δὲ μειδιάσας ξυνέγνω.

## LXI.

Βοιωτός ποτε μετὰ Αἰτωλοῦ ὁδοιπορῶν εἰς πανδοκεῖον ἀφίκετο· καὶ εἰσιόντες ᾔτησαν τὴν πανδοκεύτριαν δέχεσθαι καὶ ξενίζειν ἑαυτούς. ἡ δὲ ἀπεκρίνατο ὅτι πλέα ἐστὶν ἡ οἰκία, πλὴν ἑνὸς μόνου οἰκήματος. ἐκεῖσε δὲ ἐλθόντες καὶ δείπνου γενομένου ὡς ἐς ὕπνον ἐκοιμῶντο χαμαί. καὶ οὐ δυνάμενοι καθεύδειν σκώπτειν καὶ γελᾶν μετ' ἀλλήλων ἤρχοντο. ὁ δὲ Βοιωτὸς ἰδὼν τὸν πόδα τοῦ ἑταίρου ἐκ τῶν στρωμάτων προέχοντα, Ὡς αἰσχρὸν τὸν

πόδα, ἔφη, ἔχεις· τάλαντόν σοι δώσω αἰσχίονα δείξαντι. ὁ δὲ εὐθὺς τὸν ἀριστερὸν πόδα ἐξώσας ἐκ τῶν στρωμάτων, Ὅδε δὴ αἰσχίων, ἔφη· ἐνδεῖ γὰρ ἑνὸς δακτύλου. ὁ δὲ Βοιωτὸς ἀντεῖπεν, Οὔκ, ἀλλὰ καλλίων· τὸ γὰρ ἔλασσον, αἰσχρὸν ὄν, τοῦ μείζονος ἧττον αἰσχρόν ἐστι.

## LXII.

τοῦ Προβοῦ τῶν Ῥωμαίων ἄρχοντος στρατιώτης ἦν τις Βόνωσος· τοῦτον δὲ ἐν Ἰβηρίᾳ τεθραμμένον ἀφῆκεν ὁ Προβὸς ἐς Γερμανίαν καὶ τὰς ναῦς ἐπέτρεψεν αὐτῷ τὰς ἐκεῖθεν παρασκευάζειν. ἦν δὲ ὁ Βόνωσος συνετὸς μὲν ἀνήρ, παχὺς δὲ τὸ σῶμα καὶ πρὸς μέθην τετραμμένος. καὶ πρῶτον μὲν πιστὸς ἦν τῷ ἄρχοντι περὶ τὰς ναῦς· μετὰ δὲ χρόνον τινὰ συνωμοσίαν διενοεῖτο καταστῆσαι, καὶ αὐτὸς ἤλπιζε τὴν ἀρχὴν κτήσασθαι. στράτευμα δὲ ἔχων τέλος φανερῶς ἀπέστη· καὶ ἐπελθόντος παρὰ τοῦ Προβοῦ στρατηγοῦ τινος, καὶ μάχης γενομένης, ἡσσηθεὶς ὁ Βόνωσος σπάρτῳ ἀπάγξας ἑαυτὸν ἀπέθανεν. οἱ δὲ νικῶντες ἔφασαν Ἐνταῦθα κρέμαται οὐκ ἀνήρ, ἀλλὰ ἀσκὸς οἴνου πλέως.

## LXIII.

Μάστρος ἦν κλέπτης ἐλλόγιμος, καὶ πολλὰ περὶ αὐτοῦ ἐν ἑτέροις βιβλίοις ἤδη λέλεκται. ἤθελε δέ ποτε ἡγεμὼν τῶν κλεπτῶν γενέσθαι, ὡς συνετώτατος ὤν, καὶ δεινότατος ἐξαπατᾶν. εἶπον δὲ αὐτῷ, τοῦτο αἰτήσαντι, τοιάδε· Πρότερον μὲν δεῖ σε τὸ κρέας κλέψαι ἐκ τῆς οἰκίας τοῦ ἱερέως, καὶ ἔπειτα τοῦτο δράσας ἡμῶν ἄρξεις. τοῦτο δὲ δὴ πάνυ δυσχερὲς ἦν, τοῦ μαγείρου καὶ τῶν ἄλλων δούλων φυλασσόντων· καὶ πρὸς τούτοις ἐφεῖτο τοῖς δούλοις ὁ ἱερεὺς μηδένα ἐς τὴν οἰκίαν ἐᾶν παριέναι. ὥστε μηχανὴν εὗρεν ὁ Μάστρος δεινοτάτην τοιάνδε. ἐνσκευάσας ἑαυτὸν ὡς γραῦν, μέγαν ἔλαβε θύλακον.



## LXIV.

και τρεῖς λαγὼς ὠνησάμενος, ἐς τὸν θύλακον ἔθηκε. και σχοινίῳ περιδήσας πρὸς τὴν οἰκίαν ᾔει, καὶ ᾔτησεν ἐξεῖναι εἰσελθεῖν· Γραῦς γάρ εἰμι, ἔφη, ταλαίπωρος, καὶ ἀπείρηκα τῷ πόνῳ. οἱ δὲ οἰκέται ἐφοβοῦντο μὲν ἐᾶν, ἀπειπόντος τοῦ δεσπότου. τέλος δὲ ἰδόντες γυναῖκα δὴ οὖσαν, καὶ οὐδένα κίνδυνον ὑποπτεύσαντες, εἴων εἰσιέναι. ὁ δὲ Μάστρος χάριν εἶχε πολλήν, καὶ εἰσελθὼν ἐκάθητο παρὰ τῇ θύρᾳ. τῶν δὲ οἰκετῶν τὸ κρέας, ὥσπερ εἴρητο, φυλασσόντων, καὶ τῆς ξένης οὐδαμῶς φροντιζόντων, ἀνοίξας τὸν θύλακον ὁ Μάστρος λαγὼ ἕνα ἀφῆκε διὰ τῆς θύρας. ἐκπηδήσας δὲ μεγάλῃ τῇ φωνῇ ἐβόα· ἰδοὺ λαγὼς παρῆλθεν.

## LXV.

οἱ δὲ θαυμάσαντες δὴ μεγάλως εἰς τὴν αὐλὴν ἔβλεπον, ἐπιθυμοῦντες μὲν διώκειν, τῷ δὲ δεσπότῃ οὐδαμῶς τολμῶντες ἀπειθεῖν. καὶ εἶπέ τις, Ὡς δυστυχὲς δὴ τοῦτο· ταῖς μὲν γὰρ ἄλλαις ἡμέραις δυνάμεθα διώκειν, ἀλλὰ οὐδέποτε λαγὼ ἑωράκαμεν· σήμερον δὲ ἰδόντες ἐν τῇ οἰκίᾳ

ἀναγκαζόμεθα διατρίβειν. ὁ δὲ Μάστρος οὐ διὰ πολλοῦ ἕτερον λαγὼ μεθεὶς αὖθις ἔτι μεῖζον ἐβόα, δείξας τὸ θηρίον ἀποτρέχον. οἱ δὲ ἔτι μᾶλλον ἐφίεντο θηρεύειν, ἀλλ' οὐδέπω ἐτόλμησαν. τέλος δὲ τὸν τρίτον λαγὼ μεθέντος τοῦ κλέπτου, τότε δὴ οὐκέτι ἀνέσχοντο οἱ δοῦλοι, ἀλλὰ σύμπαντες ᾤχοντο θύραζε διώκοντες. ὁ δὲ ἐν τούτῳ ἀναρπάσας τὸ κρέας καὶ αὐτὸς ἀπέφυγεν.

## LXVI.

ναύκληρός τις ἦν ποτε ὀνόματι Κόλιμος. οὗτος δὲ πλοῦν πολὺν ἀπαγαγόμενος ἀπὸ τῆς πατρίδος, καὶ πολλοὺς μῆνας ἀποδημήσας, ἔπλει ἡσύχως οἴκαδε διὰ τοῦ μεγάλου πόντου ὃς Ἀτλαντικὸς ὀνομάζεται. εἶχε δὲ δέλτον τινὰ ἐν ᾗ ἐνεγράφη πάντα τὰ τοῦ πόντου, νῆσοί τε καὶ πέτραι καὶ τοῦ ὕδατος τὰ βραχέα. ἔτυχε δέ ποτε ἐν τῇ νηῒ καθήμενος καὶ διασκοπῶν ταύτην τὴν δέλτον. νῆσον δέ τινα ἐκεῖ γεγραμμένην δείξας τῶν ναυτῶν τινὶ ὃς ἔτυχε παρεστώς, ἰδού, ἔφη, αὕτη ἡ νῆσος οὐδαμῶς ἐπιτηδεία ἡμῖν ἐστι προσελθεῖν. ἔξω γὰρ κεῖται τῆς ὁδοῦ ἣν δεῖ πλεῦσαι· ὅμως δὲ θαυμασίως ἐπιθυμῶ ἐκεῖσε ἐλθεῖν.

## LXVII.

ὁ δὲ ναύτης ἤρετο, Διὰ τί τοιαύτῃ ἐπιθυμίᾳ κατέχει; οἱ γὰρ οἴκοθεν σφόδρα ἐκέλευσαν ἡμᾶς ὡς τάχιστα οἴκαδε σπεύδειν. ὁ δὲ ἀπεκρίνατο· Ἐγὼ δὲ πάντα ὁμολογήσω· ἴσως μὲν γὰρ μῶρός σοι δόξω εἶναι, συγγνώσει δέ μοι, οἶμαι, πάντα ἀκούσας. περὶ γὰρ ταύτης τῆς



νήσου ἐνύπνιον εἶδον δεινότατον, καὶ τοῦτο οὐχ ἅπαξ μόνον ἀλλὰ ταύτης τῆς νυκτὸς τὸ τέταρτον. εἶδον δὲ τοιόνδε· ἐν τῷ ἐπέκεινα τῆς νήσου λιμήν τίς ἐστι, καὶ ἐνταῦθα πέτραι ἐκ τοῦ ὕδατος προύχουσαι· ἐπὶ δὲ ταῖς πέτραις πλοῖόν τι ἐνεστηκὸς καὶ ὑπὸ κυμάτων ἀπολλύμενον· ἐνταῦθα δὲ πρὸς τῷ ἱστῷ δεδεμένος καὶ μόλις τῇ κεφαλῇ ὑπερέχων τῆς θαλάσσης δοῦλός τις ταλαίπωρος ἀποθνήσκει. τοῦτο δὲ τετράκις ἰδὼν δεινῶς πως διάκειμαι.

## LXVIII.

ὁ δὲ ναύτης ἀκούσας ἐξεπλάγη, καὶ αὐτὸς ὥσπερ ἐι ὄψει ἐξεστὼς ἑαυτοῦ καὶ ἀπορῶν διὰ τὸ δεινόν. τέλος δὲ οὐκέτι ἠνέσχοντο, ἀλλὰ ἀποστρέψαντες τὴν ναῦν τοῦ πλοῦ ἐπὶ τῆς νήσου εὐθέως ἐφέροντο. ἀφικόμενος δὲ ὁ Κόλιμος ἀνέγνω τὴν ἰδέαν τοῦ αἰγιαλοῦ, τὴν αὐτὴν οὖσαν ἐκείνῃ ἣν εἶδεν ἐν τῷ ἐνυπνίῳ. καὶ πλεύσαντες ἐς τὸ ἐπέκεινα, εὗρον τά τε ἄλλα καὶ λιμένα ὥσπερ διηγήσατο ὁ ναύκληρος καὶ οὐ μακρὰν ἀπὸ τῆς γῆς πέτραι ἐξέστασαν ἐκ τοῦ ὕδατος, ἐφ' αἷς πλοῖον ἦν ἐμπεπηγός, καὶ διαφθειρόμενον τῇ θαλάσσῃ. ἐς ταύτας δὲ σχόντες καὶ ἐμβάντες ἐς τὸ ναυάγιον εὗρον τὸν δοῦλον μόνον οὐ τεθνηκότα· λυθεὶς δὲ (ἐδέδετο γὰρ) καὶ ἀναπνεύσας τι ἔλεγε τοιάδε.

## LXIX.

Τρισὶν ἡμέραις πρότερον ἐπὶ ταύτης τῆς νήσου ἐπλέομεν ὁ δὲ ναύκληρος, βίαιός τις ὢν καὶ λῃστής, ἐν νῷ εἶχεν

ἐνταῦθα σχὼν ἐπιθέσθαι τοῖς νησιώταις λάθρα καὶ πάντα ληΐζεσθαι. ἐμοῦ δὲ μόνου ἀντιλέγοντος, ἐχαλέπαινον ἅπαντες, καὶ λαβόντες ἐμὲ καὶ δήσαντες οὕτω διενοοῦντο λιμῷ ἀποκτείνειν. τῆς δὲ νυκτὸς ἐγγὺς ὄντες τῷ λιμένι, ἔλαθον ἑαυτοὺς ταύταις ταῖς πέτραις προσπλέοντες, καὶ ἐναυάγησαν. χειμῶνος δὲ ὄντος πᾶσαν μὲν τὴν νύκτα φοβούμενοι καὶ ἐπαρώμενοι ἔμενον, εἰσὶ δὲ οἳ καὶ ἐμέθυον· ἅμα δὲ τῇ ἕῳ τοῦ πλοίου ἐμπέδως ἐνεστηκότος, ἐς τὸν λέμβον ἐσβάντες ἐπειρῶντο πρὸς γῆν σωθῆναι. τριφθέντος δὲ τοῦ λέμβου πρὸς ταῖς πέτραις πάντες εὐθὺς ἀπώλοντο.

## LXX.

καὶ τούτων μὲν οὕτως, ὡς ἄξιοι ἦσαν, κακῶς ἀπολομένων, ἐγὼ χάριν εἶχον τῷ θεῷ· περὶ δὲ ἐμαυτοῦ οὐδὲν πλέον ἤλπιζον, οὐδὲ ἐφάνη σωτηρία οὐδεμία. τὸ δὲ πλοῖον κατὰ μικρὸν ἀεὶ ἐς θάλασσαν κατεδύετο. ἐνταῦθα δὲ θαυμαστόν τι ἐγένετο. ἡμέρας γὰρ οὔσης ἐνύπνιον εἶδον πάντων τῶν πρότερον ἐμφανέστερον. εἶδον γὰρ πλοῖόν τι παραπλέον ὡς ἐπὶ Ἀγγλίας· καὶ ἐγὼ μὲν ἤλπιζον αὐτοὺς προσελθόντας ἐμὲ ἐκσώσειν· οἱ δὲ ἀμελοῦντες ἐς τὸ πρόσθεν ἐφέροντο. ἐγὼ δὲ ἐξαπατηθεὶς ἐβόων σφόδρα· τῆς δὲ φωνῆς ἀκούσας ἀνέστη γέρων τις γενναῖος, καὶ ἀπέστρεψε τὴν ναῦν τοῦ πλοῦ, καὶ ἀφικόμενοι διέσωσάν με. ἐγερθείς δὲ βοῆς ἤκουσα, καὶ ἀνοίξας τοὺς ὀφθαλμοὺς τὸν αὐτὸν γέροντα εἶδον μεθ' ὑμῶν προσιόντα.



## LXXI.

περὶ δὲ τῶν ἐνυπνίων τοιαῦτα τε ἤδη λέλεκται καὶ ἄλλα ἔχομεν λέγειν οὐχ ἧσσον θαυμάσια. ἀνήρ γὰρ ἦν τις ὀνόματι Σάκης ὃς ἀδελφὸν εἶχεν ὃν σφοδρα ἐφίλει· οὗτος δὲ ἐν τοῖς Ἰνδοῖς ἀπεδήμει ἐν χωρίῳ οὗπερ βάρβαροι πολλοὶ ἦσαν καὶ ἔχθιστοι. νυκτὸς δέ ποτε εὕδων θέρους ὄντος, τὸν Σάκην ὄναρ εἶδε τῇ ὄψει σφόδρα δοκοῦντα ταραχθῆναι. ἐρωτῶντος δὲ τί πάσχει, ἀπεκρίνατο ὁ ἕτερος τοιάδε· ἐγερθεὶς ὦ φίλτατε σιγῇ καὶ ξίφος λαβὼν κρύψον σεαυτὸν ὄπισθε τῆς θύρας· ἔρχονται γὰρ βάρβαροι δύο ὡς ἀποκτενοῦντές σε. ἀκούσας δὲ καὶ ἀναστὰς ἐν πολλῷ φόβῳ δὴ ἦν· λαβὼν δὲ τὸ ξίφος ὡς εἴρητο καὶ κρύψας ἑαυτὸν ἔμενε.

## LXXII.

ἦλθον δὲ οὐ διὰ πολλοῦ δύο βάρβαροι· καὶ ὁ μὲν ἀνοίξας τὴν θύραν πρὸς τὴν κλίνην ᾔει ἀποκτενῶν αὐτόν· ὁ δὲ ἕτερος κάτω μένων ἔκλεπτε τὰ χρήματα. ὁ δὲ κεκρυμμένος καταλαβὼν τὸν βάρβαρον τῆς κλίνης θιγγάνοντα καὶ λάθρα πατάξας ἀπέκτεινεν· ἐν δὲ τούτῳ τὸν ἕτερον ἔγνω ἀνιόντα μετὰ τῆς λείας. εἰσιόντα δὲ ἐκέλευσεν αὐτόν, ὡς δὴ ἑταῖρος ὤν, ἐπᾶραι τὸν θανόντα καὶ ἀποφέρειν ἔξω. ὁ δὲ οὐδὲν ὑποπτεύσας, ὡς βαθέος ὄντος τοῦ σκότου, παρέκυψε ὡς ληψόμενος τὸν νέκυν, ἅμα μεθεὶς τὴν λείαν. ὁ δὲ τῷ καιρῷ χρησάμενος καὶ τοῦτον τῷ ξίφει πατάξας ἔκτεινε. τότε δὲ τοὺς δούλους μεγάλῃ φωνῇ ἐκάλεσεν, οἱ βοηθοῦντες τοὺς βαρβάρους τοὺς ἀποθανόντας ἔξω ἐκόμισαν.

## LXXIII.

μετὰ δὲ πολλὰς ἡμέρας ἐπιστολὴν παρὰ τοῦ ἀδελφοῦ ἐδέξατο τοιάνδε· ὦ φίλτατε, ἐνύπνιον σήμερον εἶδον περὶ σοῦ θαυμάσιον, δι' ὃ πολλῷ ἐν φόβῳ εἰμὶ καὶ ἀπορίᾳ· μεσημβρίας γὰρ οὔσης εὕδων ὡς εἴωθα θέρους ὄντος, εἶδον σὲ ἐμφανέστατα ἐν κλινῃ κεκοιμημένον. νὺξ δὲ παρὰ σοὶ ἦν, ὅπερ τῷ ὄντι γίγνεται τοῖς διὰ τοσούτου ἀποῦσιν. εἶδον δὲ δύο βαρβάρους πρὸς τὸν οἶκόν σου προσιόντας, καὶ διαλεγομένων ἤκουον, ὅτι μέλλουσι σὲ μὲν ἀποκτείνειν τὰ δὲ ἐν τῇ οἰκίᾳ συλᾶν. φοβηθεὶς δὲ ἐπειρώμην σὲ ἐξ ὕπνου ἐξεγείρειν· κινεῖσθαι δὲ, οἷα εὕδοντι φιλεῖ γίγνεσθαι, οὐδαμῶς ἐδυνήθην. ὑπὸ δὲ φόβου καὶ ἄλγους μέγα βοήσας ἐκάλουν σέ· εὐθὺς δὲ ἐξηγειρομην, καὶ ἔγνων τῷ ὄντι βοῶν. λογιζόμενος δὲ εὗρεν ὅτι ἑκατέρῳ τὸ ἑαυτοῦ ἐνύπνιον κατὰ τὸν αὐτὸν χρόνον ἐφάνη.

## LXXIV

Κώνου ποτὲ βασιλεύοντος τῶν Ἰνδῶν, ἐτελεύτησεν ὁ ὑπηρέτης ὃς ἀπέκτεινε τοὺς θανάτου κατακριθέντας βουλόμενος δὲ ἕτερον ἑλέσθαι, ἐκκλησίαν συνεκάλεσεν ὁ Κῶνος, καὶ ἐκέλευσε παρεῖναι τοὺς βουλομένους τὴν τιμὴν ἔχειν τοῦ ὑπηρέτου. παρῆσαν δὲ τρεῖς ὡς ἐπὶ τὸν ἀγῶνα παρεσκευασμένοι· ὥστε τῶν κατακριθέντων τρεῖς ἐξήνεγκον, οὓς ἔδει ἐπὶ πείρᾳ ἀποκτείνειν. καὶ ὁ μὲν πρῶτος τῶν ἀγωνιζομένων μιᾷ πληγῇ ἀπέταμε τὴν κεφαλὴν τοῦ ἀνδρός. ὁ δὲ ἕτερος οὐ μόνον μιᾷ πληγῇ ἀπέταμεν, ἀλλὰ



σοφώτατα τέμνων οὐδὲ ἀπέβαλε ἀπὸ τῶν ὤμων. ὁ δὲ τρίτος ἐτίναξε μὲν βραχύ τι τὴν μάχαιραν, ἐπαύσατο δέ, οὐδὲ θιγεῖν δοκῶν τοῦ δεδεμένου. ἐρωτῶντος δὲ τοῦ Κώνου, Πότε ἄρα ἀποκτενεῖς, ἄλα ἐκέλευσε τῇ ῥινὶ τοῦ ἀνδρὸς προσθεῖναι. πταρμοῦ δὲ γενομένου ἐξέπεσεν ἡ κεφαλή. τοῦτον οὖν σφόδρα ἡσθεὶς εἵλετο ὁ βασιλεύς.

## LXXV.

Μῶμος τις ἦν ποτε βασιλεὺς τῶν Ὀνείων, οὗπερ οἱ πολῖται σφόδρα κατεφρόνουν· καὶ πολλάκις αὐτοῦ παρόντος τοῦ βασιλέως σκώπτειν καὶ ὑβρίζειν ἐτόλμων. ὁ δὲ ῥᾴθυμος ὢν οὐδὲν ἐφρόντιζεν οὐδὲ ἐπετίμα αὐτοῖς. γυνὴ δέ τις τῶν ἐκεῖ αἴσχιστά ποτε ὑβρισθεῖσα ἤθελε πρὸς τὸν βασιλέα ἐλθοῦσα ὠφέλειαν λαβεῖν καὶ κολάσαι τὸν ὑβρίσαντα. ὁ δὲ πατὴρ αὐτῇ τοιάδε συνεβούλευσεν· μηδὲν αἴτει, ἔφη, παρὰ ἐκείνου γε· ὃς γὰρ ἑαυτῷ οὐ βοηθεῖ ὑβριζομένῳ, πῶς ἑτέρᾳ τοιοῦτος βοηθήσει; ἡ δὲ ὅμως ἐλθοῦσα τοιάδε εἶπεν· ὦ βασιλεῦ, ὠφέλειαν μὲν οὐδεμίαν αἰτῶ· μαθεῖν δὲ θέλω παρὰ σοῦ, πῶς ὑβρισθεῖσα τοιαύτῃ ῥαθυμίᾳ ἀνέξομαι. ὁ δὲ ἀγανακτῶν οὐ μόνον ἐκείνῃ ἐβοήθησεν, ἀλλὰ τοὺς ἑαυτὸν ὑβρίσαντας τὸ λοιπὸν ἐκόλαζεν.

## LXXVI.

ἄλλοτε δὲ ποιηταὶ δύο παρὰ τὸν Μῶμον ἦλθον, αἰτοῦντες αὐτὸν ἀγῶνά τινα διακρῖναι· ὁ δὲ Πάντα θέλω, ἔφη, δρᾶσαι ὅσα δύναμαι ὥστε ὑμᾶς ὠφελεῖν. λέξαντος

δὲ ταῦτα, διηγήσαντο ἐκεῖνοι τὸ πρᾶγμα. ἦν γὰρ περὶ τῆς τέχνης ὁ ἀγών, ἑκατέρου ἀξιοῦντος σοφώτερον δύνασθαι ποιεῖν. Λέγετε οὖν ἑκάτερος ποίημά τι, παρόντων ἁπάντων· ἡμεῖς δὲ ἀκούσαντες διαγνωσόμεθα, πότερος δοκεῖ ἀμείνων εἶναι τὴν τέχνην, καὶ χρυσὸν πολὺν δώσομεν τῷ νικήσαντι. ἐνταῦθα δὲ ἡσθέντε ἐπῃνείτην αὐτὸν ἄμφω, ὁ δὲ γεραίτερος σιγῆς γενομένης ἔλεγε τὸ ποίημα· τοῦ δὲ πανσαμένου, εὐθὺς οὐδὲν μείνας ὁ βασιλεὺς διέγνω ὅτι νικᾷ ὁ ἕτερος.

## LXXVII.

ἄλλοτε δὲ Μῶμος βουλόμενος εἰδέναι περὶ τῶν ἀρχομένων ποῖοι ἄρα εἰσὶν ἄνθρωποι, καὶ πῶς ἔχουσι πρὸς ἑαυτόν, ἐνσκευάσας ἑαυτὸν ὡς κάπηλον ὄντα διὰ τῆς πόλεως νυκτὸς ἐπορεύετο. οἱ δὲ πολῖται φιλόξενοι ὄντες πανταχοῦ ἐδέχοντο αὐτὸν ἀσμένως, καὶ πολλὰ ἤκουε περὶ ἑαυτοῦ ἀδεῶς λεγόμενα. ἦλθε δέ ποτε εἰς βυρσοδέψου οἰκίαν, ὃς τὴν γυναῖκα πληγαῖς καὶ λοιδορίαις ἐκόλαζε, ὡς ἀπειθήσασαν. ἡ δὲ ἐβόα· Ἐγὼ δὲ οὐδὲν τὸ παράπαν ἔδρασα, πλὴν εἰ μὴ ἐξῆλθον τοὺς στρατιώτας ὀψομένη· οὗτος δὲ ὁ ξένος βοηθήσει μοι, οὐ γὰρ νομίζεται ἐνταῦθα τὰς γυναῖκας οὕτως ὠμῶς κολάζειν. οὔκουν μιμήσει τὸν βασιλέα, ὃς ἐλευθέραν ἀφίησι τὴν ἑαυτοῦ γυναῖκα, πανθ' ἃ βούλεται ποιεῖν;

## LXXVIII.

ὁ δὲ ἀνὴρ οὐδὲν ἐπαύετο τύπτων τὴν γυναῖκα, ἀλλὰ ἐμαρτύρετο τὸν ξένον τοιάδε λέγων· ὦ ξένε, οὐκ οἶδα



πόθεν εἶ· τοῦτο δὲ χρὴ ἀφ' ἡμῶν μανθάνειν, ὡς πολλὰ πράγματα παρέχει τοῖς ἀρχομένοις ὁ βασιλεύς, τὴν ἑαυτοῦ οἰκίαν ἀνοήτως διοικῶν. ἡ δὲ γυνὴ οὔπω τῆς βοῆς πανσαμένη, Ἀλλ' οὐ γάρ, ἔφη, κακῶς ἡμῶν γε ἄρχει· πάντες γὰρ πανταχοῦ τὴν ἡμετέραν πόλιν ἐπαινοῦσιν, ὡς εὔκοσμοί ἐσμεν καὶ νόμους εὖ τεθειμένους ἐπιμελῶς σῴζομεν. τοῦτο μὲν ἀληθές, ἔφη ὁ ἀνήρ· καὶ ἀξία ἐστὶν ἡ πόλις ταῦτα ἐπαινεῖσθαι· ἀλλὰ τούτου οὐχ ὁ βασιλεὺς αἴτιος, ῥᾳθυμίᾳ τῆς ἀρχῆς μεθιέμενος, ἀλλὰ ἡμεῖς οἱ τὰς γυναῖκας κολάζοντες.

## LXXIX.

Πόμπος ἦν κλέπτης τις, ὃς τῇ μὲν σοφίᾳ οὐ περισσός τις ἦν, τῇ δὲ ἀναιδείᾳ πάντων ἀνθρώπων διέφερε. πολλῶν γὰρ ἀνδρῶν τοῦτον ἀναπείθειν πειρασαμένων, μηκέτι κλέπτειν, τέλος Φαλερός τις ἰατρὸς ἐπιεικέστατος ὢν εἰς τὴν οἰκίαν ὡς οἰκέτην παρεδέξατο, εἰδὼς μὲν ἄδικον ὄντα καὶ ἀεὶ κλέπτοντα, τῇ δὲ ἐπιεικείᾳ καὶ δικαιοσύνῃ ἐλπίζων ἰᾶσθαι αὐτόν· πολλὰ γάρ, ἔφη, διὰ τῶν τοιούτων κατορθοῖ τις, τῶν ἄλλων ἀπράκτων ὄντων. καὶ χρόνον μὲν πολὺν σπουδαῖος ἐγένετο οἰκέτης ὁ Πόμπος· ἔτυχε δὲ ποτε φίλος τις εἰσιὼν παρὰ τὸν Φαλερόν, καὶ εἶδε τὸν Πόμπον ἀποτρέχοντα διὰ τῆς ὄπισθε θύρας, ποτήριον χρυσοῦν ἔχοντα. ἁλοὺς δὲ καὶ πρὸς τὸν δεσπότην ἀγόμενος, Ἀλλὰ πρὸς τὸν ποταμὸν ἔφερον, ἔφη, ἵνα λούσαιμι.

## LXXX.

ἄλλοτε δὲ ὁ Πόμπος πεινῶν δὴ σφόδρα ἐπορεύετο κατὰ τὴν ὁδὸν τὴν ἐπὶ Κορίνθου. καὶ ἰδὼν πτωχόν τινα ὑπὸ δένδρου παρὰ τῇ ὁδῷ καθήμενον καὶ σιτία τινὰ φαῦλα ἐσθίοντα, ἐν νῷ εἶχε μηχανῇ τινι λαβὼν ἀποφυγεῖν. ὁ δὲ πτωχὸς χωλὸς ὢν σκέλος ξύλινον ὑποδεδεμένος ὡδοιπόρει. τοῦτο δὲ ὑπολυσάμενος ἀνεπαύετο μὲν τότε, τὸ δὲ δεῖπνον, οὐ πάνυ σπουδαῖον ὄν, ἡσύχως κατήσθιεν. τοῦ δὲ ἀσπασαμένου τὸν Πόμπον καὶ μεταδόντος ὧν εἶχε σιτίων, πάνυ ἥσθη οὗτος καὶ χάριν πολλὴν εἶχε τῆς φιλίας καὶ ἐπιεικείας. τέλος δὲ φαγόντες καὶ πιόντες ἐκοιμήσαντο· ῥέγκοντος δὲ τοῦ πτωχοῦ, ἀναστὰς ὁ Πόμπος τὸ βαλλάντιον αὐτοῦ λαβὼν καὶ τὸ σκέλος, ἀπώχετο φυγών.

## LXXXI.

ἐν τῇ τῶν Κελτῶν νήσῳ ἀνθρώπων ἐστὶ γένος, Ληγίοι καλούμενοι. οὗτοι δὲ τὰ μὲν ἄλλα τοῖς λοιποῖς πολίταις ὅμοιοί εἰσι, οἴνου δὲ οὐδέποτε γεύονται, οἰόμενοι ἀσεβὲς εἶναι πίνειν καὶ ὁποσονοῦν. καὶ συνόδους ἔχουσι, οἳ συνελθόντες πολλοὺς λόγους λέγουσι, τὸν οἴνου ἀπεχόμενον σφόδρα ἐπαινοῦντες ὡς ἄριστον ὄντα ἀνθρώπων. τοιαύτῃ δὲ συνόδῳ ποτὲ τούτων συλλεγέντων, Ληγίος τις ῥήτωρ διηγεῖτο, ὡς εὖ ἀεὶ ἔχουσι τῷ σώματι οἱ μηδένα οἶνον πίνοντες, οὐδὲ ἀσθενοῦσιν νόσῳ οὐδεμιᾷ. ἀναστὰς δέ τις, οὐ Ληγίος ὤν, ἔφη τοιάδε· 'Εγὼ δὲ ἑβδομήκοντα ἤδη ἔτη οἶνον πίνων οὐδέπω οὐδὲ ἡμέραν μίαν ἐνόσησα.



ὁ δὲ ῥήτωρ, 'Αλλ' εἰ οἴνου ἀπείχου, ἔφη, ἤδη ἂν ἑκατὸν ἔτη ἦσθα γεγονώς.

## LXXXII.

ὁ δὲ Φάρος ἵππον εἶχεν ἄριστον, ὃν πολλοὶ ἄνθρωποι ἐπόθουν σφόδρα ἔχειν· ὁ δὲ Φάρος ἀεὶ περὶ τούτου ἐκαυχᾶτο, ὡς πάντων τῶν ἵππων διαφέροντος τῷ τάχει. καὶ οἱ φίλοι παρῄνουν αὐτῷ ἐπιμελέστερον φυλάσσειν αὐτόν· ὁ δὲ οὐδὲν ἐφοβεῖτο τοὺς κλέπτας, ἐπεὶ τοῦτο ᾔδει, ὅτι ὁ ἵππος ἄλλοτε μὲν βραδέως τρέχει, πιεζόμενος δὲ τὸ δεξιὸν οὓς πάντας τοὺς ἄλλους νικᾷ· τοῦτο δὲ μόνος ὁ δεσπότης ᾔδει, ὥστε τῶν κλεπτόντων οὐδὲν ἐφρόντιζε, δυνάμενος ἄλλῳ τινὶ ἵππῳ καταλαβεῖν. ἦλθε δέ ποτε κλέπτης τις νυκτὸς, ὃς ὑποδὺς τὴν σκηνὴν τὸν ἵππον λύσας καὶ ἐπιβὰς ᾤχετο φυγών. ψόφου δὲ ἀκούσας ὁ Φάρος, καὶ ἐγερθεὶς ἔγνω τὸ γενόμενον.

## LXXXIII.

γελάσας δε καὶ οὐδαμῶς ἐν ἀπορίᾳ ὢν ἀνέστη καὶ πρὸς τὸν πλησίον ἰὼν ἔλεξε τὸ πρᾶγμα· καὶ ᾔτησεν αὐτὸν παρέχειν τὸν ἵππον, ὥστε τὸν ἑαυτοῦ καταλαβεῖν. τοῦ δὲ συναινέσαντος, ὁ Φάρος λαβὼν καὶ ἐπιβὰς ἐδίωκε τὸν κλέπτην. ὁ δὲ ἤδη πολὺ προελθὼν ἤλπιζεν οἴκαδε φθάνειν καταφυγών. καὶ κατέστη οὕτως ἀγών τις ἱππικός, καὶ πάντες οἱ ἐν τῇ χώρᾳ ἐθεώρουν παριόντας θᾶσσον τῆς ἀστραπῆς καὶ σφόδρα ἐθαύμαζον· τέλος δὲ ὁ Φάρος, ἀγαθὸν ἔχων ἵππον, κατελάμβανε τὸν κλέπτην, ἐγγύτατα ὄπισθεν

ἑπόμενος. τότε δὴ τῷ κλέπτῃ ἐβόα, Πίεζε τὸ δεξιὸν οὖς· τοῦ δὲ πιέσαντος, ἀπέφυγεν ἀστραπῆς θᾶσσον ὁ ἵππος καὶ ἠφανίσθη. μᾶλλον γὰρ ἐβούλετο τὴν ἀξίωσιν σώζειν τοῦ ἵππου ἢ αὐτὸν τὸν ἵππον.

## LXXXIV.

ὁ Γραύλης τρεῖς ἔχων υἱοὺς οὐδαμῶς ἐδύνατο τρέφειν αὐτοὺς ἐκλειπόντων τῶν σιτίων. ὥστε πᾶσαν τὴν ἀπορίαν διηγησάμενος αὐτοῖς ἀπέπεμψε καὶ ἐκέλευσε τέχνην τινὰ μαθόντας μετὰ πέντε ἐνιαυτοὺς αὖθις ἥκειν πρὸς ἑαυτόν. οἱ δὲ μετὰ πολλῶν δακρύων ἀλλήλοις χαίρειν εἰπόντες ἐπορεύοντο τὴν ἑαυτοῦ ἕκαστος ὁδόν. καὶ ὁ μὲν πρεσβύτερος παρὰ μάντιν τινὰ σοφώτατον ἀφίκετο ὃς οἷός τ᾽ ἦν τὰ πορρωτάτω ὄντα κατασκέψασθαι, ὑαλίνῃ τινὶ μηχανῇ χρώμενος. ὁ δὲ δεύτερος παρὰ τοξότῃ τινὶ διάγων ἐμπειρότατος ἐγένετο τοῦ τοξεύειν· καὶ οὐδὲν ἦν οὐδαμοῦ ὅ,τι οὐ δυνατὸς ἦν τῷ τοξεύματι καταλαβεῖν, καίπερ οὐδὲ ὁρώντων τῶν ἑτέρων.

## LXXXV.

ὁ δὲ τρίτος ἀδελφὸς οὐδὲν τοιοῦτον ἔτυχε μαθών· ἀλλὰ ἀγροικότερος δὴ τῶν ἑτέρων ὢν παρὰ σκυτοτόμον τινὰ ἀπῆλθε, καὶ τοὺς πέντε ἐνιαυτοὺς ἐκεῖ διῆγε, πᾶσαν τὴν τέχνην μανθάνων· καὶ τέλος ἐμπειρότατος καὶ αὐτὸς ἐγένετο, ὥστε τὰ διαρραγέντα πάντα ἠπίστατο συρράπτειν. τοῦ δὲ χρόνου τελευτῶντος, ἧκον αὖθις οἱ τρεῖς υἱοὶ



παρὰ τὸν πατέρα, ἕτοιμοι ὄντες τὴν ἑαυτοῦ ἕκαστος τέχνην ἐπιδείξασθαι. ὁ δὲ Γραύλης εἶπεν αὐτοῖς τοιάδε· Πίθεσθέ μοι, τέκνα, καὶ ἴσως μέγιστον πλοῦτον ἡμῖν εὑρήσετε. ἀετὸς γάρ ἐστί τις ἐπὶ ὑψηλοτάτης πέτρας τὴν οἰκίαν καταστήσας· ὁ δὲ βασιλεὺς ἐκείνῳ πολὺν χρυσὸν ὑπισχνεῖται ὅστις τοὺς νεοσσοὺς τούτου τοῦ ἀετοῦ ζωοὺς αὐτῷ παραδώσει.

## LXXXVI.

ἀκούσαντες δὲ ταῦτα πρὸς ἐπίδειξιν ἐτράποντο τῆς τέχνης. καὶ ὁ μὲν πρῶτος ἐκ τοῦ κόλπου τοῦ ἱματίου ἐξελὼν τὴν ὕαλον πρὸς τὴν πέτραν ἐπῆρε· καὶ χρόνον τινὰ οὐ μακρὸν ἐπισχών, Ἐπὶ τῆς πέτρας, ἔφη ἀκροτάτης πεύκη μία ἕστηκε· καὶ ὑψοῦ ἐπὶ τῆς πεύκης νεοσσιά ἐστι τοῦ ἀετοῦ κλάδοις καὶ κάρφεσιν συμπεπλεγμένοις πεποιημένη, πεντε ᾠὰ ἔχουσα. ὁ δὲ δεύτερος οὐδὲν εἰπὼν ἀλλὰ τὸ τόξον παρασκευασάμενος ἀφῆκε τὸ βέλος· καὶ οὐ διὰ μακροῦ ψόφος τις ἐγένετο ὡσπερεὶ πύργου καταβαλλομένου· καὶ ἐς μέσον κατέπεσεν ἡ νεοσσιά, τριήρει ἴση τὸ μέγεθος, νεκρὸν ἔχουσα τὸν ἀετὸν καὶ πέντε ᾠὰ θαυμασιώτατα.

## LXXXVII.

καὶ τἄλλα μὲν ἐπῄνεσεν ὁ πατὴρ τοὺς ἀδελφοὺς ὡς εὖ τελέσαντας τὸ πρᾶγμα· τοῦτο δὲ ἠπόρησεν, ὅτι διερράγη τὰ ᾠά, οὐδὲ δυνατὸν ἔδοξεν εἶναι ζωοὺς παραδοῦναι τοὺς νεοσσοὺς τῷ βασιλεῖ. ἐνταῦθα δὲ ὁ νεώτατος υἱὸς

παρελθὼν Ἐγώ, ἔφη, ταύτης τῆς ἀπορίας ὑμᾶς ἀπαλλάξω. καὶ ἅμα λαβὼν τὰ ᾠὰ συνέρραψεν ἐπιστημόνως. καὶ μετὰ δύο ἡμέρας αὖθις διαρραγέντων τῶν ᾠῶν ἐξεφάνησαν νεοσσοὶ πέντε, σημεῖον οὐδὲν ἄλλο ἔχοντες τοῦ γεγενημένου, πλὴν ὅτι γραμμήν τινα ἐρυθρὰν εἶχον περὶ τὸ στῆθος. ὁ δὲ βασιλεὺς ἰδὼν πάντα ὅσα ἐβούλετο γενόμενα ὑπερφυῶς ἥσθη, καὶ τοῖς μὲν ἄλλοις πολὺν πλοῦτον ἔδωκε, τῷ δὲ νεωτάτῳ τὴν ἀρχὴν ἐπέτρεψε.

## LXXXVIII.

οἱ Φέλιοι πολλὰ εὖ παθόντες ὑπὸ Λινίου τινός, οἰκίαν ἐν τῇ πόλει κατέστησαν, ἐν ᾗ πᾶσι τοῖς Λινίοις ἐξῆν ἄνευ δαπάνης διάγειν, τοὺς δὲ ἄλλους ἀνάγκη ἦν στατῆρα τῆς ἡμέρας ἀποδοῦναι, ὅσοι ἐκεῖ ἐβούλοντο οἰκεῖν. Φελίῳ δέ τινί ποτε ἔρις ἐγένετο καὶ ὀργὴ χαλεπὴ πρὸς Λινίον τινά, καὶ διαφερόμενοι ἐλοιδοροῦντο ἀλλήλοις θαυμάσιον ὅσον. ὁ δὲ Λινίος ἐγγελῶν τῷ ἑτέρῳ, Ἰδού, ἔφη, ὅσῳ ἐγὼ τιμιώτερός εἰμί σου· ἐνθάδε γὰρ ἐγὼ μετ' οὐδεμιᾶς δαπάνης οἰκῶ, οὗπερ σὺ στατῆρα ἀποδούς. ὁ δὲ Φέλιος Ἀλλ' ἔγωγε, ἔφη, ἑλοίμην ἂν πολλοὺς δὴ στατῆρας ἀποδοῦναι μᾶλλον ἢ πλεῖστα δέξασθαι Λινίος γε αὐτὸς ὤν.

## LXXXIX.

ἡ δὲ αἴλουρος, βουλομένη εἰδέναι τί ἄρα τὰ ἕτερα τῶν ζῴων φρονεῖ περὶ τοῦ βίου, πρὸς ἕκαστον ἐφεξῆς ἐπορεύετο· καὶ ἐλθοῦσα ἤρετο τί χρὴ δρῶσαν τὸν βίον εὖ



διάγειν. καὶ οἱ μὲν ἄλλοι ὡς ἕκαστος ἐτύγχανε ἀπεκρίνοντο· ἡ δὲ γλαῦξ σεμνοτάτην διαθεῖσα τὴν ὄψιν, Ὦ αἴλουρε, ἔφη, μάλιστα μὲν πάντων φιλοσοφίας δεῖ. τὸ δὲ φιλοσοφεῖν ἐστι περὶ τοιούτων πραγμάτων ζητεῖν καὶ φρονεῖν, ἅ χαλεπώτατά ἐστιν ἐξευρεῖν. ἡ δὲ αἴλουρος οὐδὲν ἔφη ὄφελος εἶναι ζητεῖν τὰ τοιαῦτα· ἄμεινον γὰρ εἶναι φρονεῖν περὶ τῶν ῥᾳδίων πραγμάτων. οὐδεὶς γάρ, ἔφη, οὐδὲν ζητεῖ, εἰ μὴ ἐλπίζων ποτὲ εὑρίσκειν· οὐδὲ γὰρ φρόνιμον ἂν εἴη.

## XC.

ἡ δὲ γλαῦξ βραδέως καὶ σεμνῶς τὰ βλέφαρα συγκλείσασα, Ἀλλὰ παράδειγμα, ἔφη, δώσω σοι τῆς φιλοσοφίας, πῶς ζητεῖται. οἶσθα γὰρ δήπου, ὅτι ἡ μὲν ὄρνις ἐκ τοῦ ᾠοῦ γίγνεται, τὸ δὲ ᾠὸν οὐχ ἧσσον ἐκ τῆς ὄρνιθος· τῇ φιλοσοφίᾳ τοίνυν προσήκει τοῦτο διασκέψασθαι, πότερον τὸ ᾠὸν πρότερον ἐγένετο ἢ ἡ ὄρνις. δῆλον γάρ, ὅτι θάτερον πρότερον ἐφάνη, ἐπεὶ οὐδὲν τῶν ζῴων ἀθάνατον πέφυκεν οὐδὲ ἀίδιον. Τίς δὲ ἐλπίς, ἔφη γελῶσα ἡ αἴλουρος, τοιοῦτόν τι ἐξευρεῖν; ἡ δὲ γλαῦξ ἔτι σεμνότερον βλέπουσα ἢ πρὸ τοῦ, Οὐδεμία, ἔφη, ἐλπίς· καὶ τούτου δὴ χάριν ἔχω πλείστην τοῖς θεοῖς· ζητοῦντες γὰρ ἥδονται οἱ φιλόσοφοι· τὸ δὲ ἐξευρεῖν τι, τέλος ἐστὶ καὶ διαφθορὰ τῆς φιλοσοφίας.

## XCI.

ἦσαν δὲ ποτε θαυμάσιοί τινες ὑφάνται, ὀνόματι Πλέκιοι, οἵπερ πρὸς τὴν Κώλου πόλιν προσῆλθον. ὁ δὲ Κῶλος

πάνυ μὲν σεμνὸς ἦν βασιλεύς, σώφρων δὲ οὐκ ἐδόκει εἶναι. οἱ δὲ Πλέκιοι ᾔτησαν ἐξεῖναι πρὸς τὸν βασιλέα ἐλθεῖν, καὶ τὴν τέχνην ἐπιδείξασθαι. ἐλθόντες δὲ ἔλεγον τοιάδε. ὦ μέγιστε βασιλεῦ, ἐθέλοιμεν ἂν τῇ ἡμετέρᾳ τέχνῃ πλεῖστά σε ὠφελεῖν. ἱμάτια γὰρ τοιαῦτα δυνάμεθα ὑφαίνειν, ἅ ἔχων διαγνῶναι οἷός τ' ἔσει τοὺς πιστούς τε καὶ μὴ πιστοὺς πάντων οἷς συγγίγνει. ὅσοι μὲν γὰρ πιστοί εἰσι καὶ ἄξιοι τιμῆς καὶ ἱκανοὶ ἄρχειν, οὗτοι τὰ ἱμάτια δυνήσονται σαφῶς ὁρᾶν· οἱ δὲ ἀνάξιοι οὐδὲν ὄψονται τὸ παράπαν.

## XCII.

ὁ δὲ βασιλεὺς σφόδρα ἡσθεὶς οἷς ἔλεγον οἱ ὑφάνται χαίροιμι ἄν, ἔφη, ἱμάτια τοιαῦτα λαβών, καὶ ἀντὶ δώρου τοιούτου οὐδεμίαν ἂν τιμὴν μείζω νομίζοιμι· ὥστε θαρροῦντες αἰτεῖτε ὅσα θέλετε, ὡς πᾶν ἐμοῦ θέλοντος ἀποδοῦναι. οἱ δὲ ἀπεκρίνοντο τοιάδε· ὦ βασιλεῦ, χάριν μὲν ἔχομέν σοι ὧν ἔλεξας, τοῦ δὲ ἀργυρίου ἧσσον μέλει ἡμῖν· ἀλλ' ἐπεὶ ζῆν ἀνάγκη, ἑκατὸν στατῆρας ἡμῶν ἑκάστῳ δώσεις τῆς ἡμέρας· ἀντὶ δὲ τούτου πέπλον ἕνα ποδήρη σοι ὑφανοῦμεν, ὅστις τοῖς μὲν ἀγαθοῖς καὶ πιστοῖς πολίταις καὶ ὅσοι ἱκανοί εἰσιν ἄρχειν μεγαλοπρεπέστατος εἶναι δόξει, τοῖς δὲ ἀναξίοις οὐδὲ ὁρατός.

## XCIII.

ταῦτα δὲ εἰπόντες καὶ ἀσπασάμενοι τὸν βασιλέα ἀπῆλθον εἰς τὴν οἰκίαν καὶ τὸν ἱστὸν κατέστησαν. καὶ



ὁ βασιλεὺς κατὰ τὸ εἰρημένον ἀπεδίδου ἑκάστῳ τοὺς στατῆρας καθ' ἡμέραν ἑκάστην. οἱ δὲ ἐν τῇ οἰκίᾳ πολλὰς ἡμέρας ἔμενον ὡς ἐργαζόμενοι δὴ περὶ τὸ ὕφασμα. τοῦ δὲ ἱστοῦ παρὰ μεγάλῃ θυρίδι ἑστηκότος, οἱ παριόντες ἅπαντες ἑώρων τοὺς ὑφάντας καθημένους ἐπὶ τῷ ἔργῳ καὶ τὰς χεῖρας ταχέως ἄνω κάτω βάλλοντας ὡς μέγα τι ἱμάτιον ὑφαίνοντας. καὶ ἐν τῇ πόλει ὡς εἰκὸς πολλὴ ἦν σπουδὴ καὶ λόγος ἄπληστος περὶ τοῦ πράγματος, καὶ δὴ καὶ ἔρις οὐ σμικρά, τῶν μὲν χαιρόντων εἰ νῦν ἄρα ὁ βασιλεὺς τῶν ἀπίστων ἀπαλλαγήσεται, τῶν δὲ δεδιότων καὶ λοιδορούντων τοὺς ὑφάντας.

## XCIV.

μετὰ δὲ δύο μῆνας, ὡς ἔτι εἰργάζοντο οἱ Πλέκιοι οὐδὲ φανερόν πω οὐδὲν ἐγένετο, ἔπεμψεν ὁ βασιλεὺς τὸν ταμίαν πρὸς τὴν ἐκείνων οἰκίαν, ὡς ὀψόμενον τὸ ἔργον πῶς ἔχει. ὁ δὲ ἐλθὼν καὶ τὸν ἱστὸν διασκεψάμενος οὐδὲν εἶδε τὸ παράπαν. οἱ δὲ Πλέκιοι περιεστηκότες ἔδειξαν αὐτῷ τὸ ὕφασμα, ὡς ποικίλον δὴ καὶ λαμπρόν ἐστι καὶ ἐπιστημόνως πεποιημένον. ὁ δὲ οὐδέν τι μᾶλλον δυνάμενος ἰδεῖν, ἐπῄνει μέντοι ἀφθόνως καὶ ἀνεῖχε τὰς χεῖρας καὶ ὀλίγου δεῖν χαμαὶ προὔκειτο ὡς θαυμάζων δῆτα τὴν μεγαλοπρέπειαν τοῦ ἱματίου. ἀπιὼν δὲ ἀπήγγειλεν ὡσαύτως τῷ Κώλῳ, ὅτι κάλλιστόν ἐστι τὸ ὕφασμα καὶ οὐ διὰ μακροῦ τέλειον ἔσται.

## XCV.

*τέλος δὲ γενομένων πολλῶν ἔτι ἡμερῶν, ἧκεν εἷς τις τῶν Πλεκίων λέγων ἕτοιμον εἶναι τὸ ὕφασμα. οἱ δὲ ἄριστοι τῶν ἀρχόντων ᾔεσαν σκεψόμενοι τὸ ἔργον. παρῆσαν δὲ οἱ ὑφάνται πάντες, καὶ ὥσπερ πρότερον ἐπεδείκνυντο καθ᾽ ἕκαστον ὡς εὖ ἔχει τὸ ἱμάτιον. οἱ δὲ ἄρχοντες οὐδὲ αὐτοὶ ὁρῶντες οὐδέν, φοβούμενοι μέντοι ὥσπερ καὶ ὁ ταμίας, καὶ συνειδότες ἑαυτῷ ἕκαστος ὡς ἀνάξιος καὶ ἄπιστός ἐστι, οὐδαμῶς ἐτόλμων τὸ ἀληθὲς ὁμολογεῖν ὅτι οὐδὲν εἶδον· ἀλλὰ ἐπῄνουν καὶ ἐθαύμαζον καὶ αὐτοί. καὶ οὕτως ἐπαινοῦντες ἔπεισαν τὸν βασιλέα δέξασθαι τὸ ἱμάτιον καὶ ἐνδύντα σεμνῶς διὰ τῆς πόλεως πομπεύειν.*

## XCVI.

*ἐλθὼν δὲ ὁ βασιλεὺς μετὰ πολλῆς ἐλπίδος, πάντων τῶν ἐν τέλει συνεπομένων, ἐς τὸν ἱστὸν προήγετο, ἀσπαζομένων καὶ προσκυνούντων τῶν ὑφαντῶν. ἐπεὶ δὲ ἀπεκαλύφθη ὁ ἱστός, οὐδὲν δὴ τὸ παράπαν οὐδὲ αὐτὸς εἶδεν ὁ Κῶλος. συνειδὼς δὲ ἑαυτῷ ὅτι πολλὰ δὴ ἥμαρτε καὶ δείσας οὐδὲν ἐδήλωσεν, ἀλλὰ κρύψας τὴν ὑποψίαν ἐπῄνει τὸ ἔργον, καὶ ἐκδυσάμενος τὰ ἱμάτια ἀμφιεβάλλετο τὸ νέον δὴ ὕφασμα, καὶ οὕτω διὰ τῆς ὁδοῦ ἐπορεύετο. οἱ δὲ ἐν ταῖς ὁδοῖς ὁρῶντες μὲν οὐδὲ αὐτοὶ οὐδέν, φοβούμενοι δὲ ὥσπερ οἱ πρὶν ὁμολογεῖν, ἐπαινοῦντες καὶ θαυμάζοντες πολὺν θόρυβον ἐποίουν· τέλος δὲ παιδίον τι ἐφθέγξατο· Ἀλλὰ γυμνὸς ὁ βασιλεύς. τοῦτο δὲ ἑκάστου τῷ πλησίον ὑπειπόντος, ἔγνωσαν πάντες τὸ πρᾶγμα καὶ ἐς γέλωτα πολὺν ἐτράποντο, ἑαυτούς τε σκώπτοντες καὶ τὸν βασιλέα.*



## XCVII.

*οἱ δὲ Καλυδόνιοι βασιλικοὶ εἶναι λέγονται τὸ γένος· διισχυρίζονται δὲ καὶ αὐτοὶ σφόδρα τοῦτο οὕτως ἔχειν. ἦν δέ ποτέ τις τῶν πολιτῶν, ἄγροικος ὢν τὴν φύσιν, ὅσπερ ὀργισθεὶς τοῖς Καλυδονίοις τὴν θυγατέρα τοῦ ἀρίστου αὐτῶν οὐκ ἔφη βασιλικὴν εἶναι. ἡ δὲ πυθομένη καὶ δεινὸν ποιουμένη ἐβούλετο ἐνδεῖξαι ὅτι βασιλική ἐστι. οἱ δὲ βασιλικοὶ οὕτω διαγνῶναι ῥᾴδιοί εἰσι, ὅτι μαλακῶς κεῖσθαι δεῖ· εἰ δὲ μή, τραυματίζονται χαλεπῶς καὶ ἀλγοῦσι τὸ σῶμα. ὥστε κύαμον ξηρὸν ὠνησαμένη ἐπὶ κλίνης κατέθηκε, καὶ ἐπὶ τοῦ κυάμου εἴκοσι μαλακωτάτους τάπητας καταπετάσασα οὕτω δὴ ἐκοιμᾶτο.*

## XCVIII.

*ταῦτα δὲ ἐποίησε τούτου ἕνεκα, ὅτι τῶν μετρίων μὲν ἀνθρώπων οὐδεὶς ἂν ἀλγοίη διά γε κύαμον, τοσούτων καὶ τοιούτων ταπήτων ἐν τῷ μεταξὺ κειμένων· ἀνάγκη δὲ τοὺς βασιλικοὺς καὶ οὕτω τραυματίζεσθαι. ἡ δὲ παρθένος κατακειμένη, ὡς ἐλέγετο, καθεύδειν ἐπειρᾶτο· διὰ δὲ τὴν ὀδύνην οὐδὲ καταδαρθεῖν ἐδύνατο· διὰ γὰρ τὸν κύαμον τὸν κάτωθεν ἤλγει πᾶν τὸ σῶμα καὶ ἐταράσσετο πᾶσαν τὴν νύκτα, οὐδὲ συμβαλεῖν οἵα τ᾽ οὖσα τὼ ὀφθαλμώ. ἅμα δὲ τῇ ἕῳ ἧκον αἱ θεράπαιναι, καὶ εὗρον τὴν ταλαίπωρον*

ἡματωμένην καὶ τετραυματισμένην καὶ ὀλίγου τεθνηκυῖαν. ὥστε ὡμολόγουν ἅπαντες ἦ μὴν τῷ ὄντι βασιλικὴν εἶναι.

## XCIX.

οἱ δὲ Κιλίοι θαυμάσιον γένος εἰσί, καὶ δαιμόνια πολλὰ καὶ δεινὰ οἴονται εἶναι. Κιλίος δέ τίς ποτε ἀγρὸν ἀγοράσας εὗρε δαιμόνιόν τι ὑπὸ τῆς γῆς ἐκεῖ οἰκοῦν, ὀνόματι Γρυμφόν. εὕδοντος δέ ποτε τοῦ Κιλίου, ἐφάνη αὐτῷ ὄναρ ὁ Γρυμφός, καὶ ἔλεξε τοιάδε· Ὦ Κιλίε, πάρεστί σοι θάτερον ἑλέσθαι πότερον φίλος μοι βούλει εἶναι ἢ δυσμενής· παραινῶ δέ σοι φίλῳ παντάπασιν εἶναι· σοῦ γὰρ δυσμενοῦς ὄντος, εἰκός καὶ ἐμὲ χαλεπὸν γενέσθαι, καὶ τὸν ἀγρὸν πολλαχῇ βλάπτειν· τοῦτο δὲ φρονιμώτερος ἔσει μὴ κινδυνεύων. βούλει οὖν πρὸς ἐμὲ σύμβασιν ποιεῖσθαι περὶ τοῦ ἀγροῦ;

## C.

ὁ δὲ Κιλίος δεδιὼς ἤδη καὶ σώζειν βουλομενος ἑαυτόν τε καὶ τὸν καρπὸν τὸν τοῦ ἀγροῦ, συνῄνεσε τῷ Γρυμφῷ καὶ σύμβασιν ἔφη ποιήσεσθαι. ὁ δὲ Γρυμφός, Ἐπὶ τοῖσδε οὖν, ἔφη, φίλος σοι θέλω γενέσθαι. ἐκ γὰρ τοῦ ἀγροῦ φόρον μοι ἀποδώσεις τοιόνδε. τῆτες μὲν τοῦ καρποῦ πᾶν τὸ ὑπὸ γῆς κείμενον ἔξω, τὸ ἐμὸν μέρος δὴ ὄν. ὅσα δὲ ὑπερ γῆς εὑρήσεις, σὸν κέρδος ἔστω. οὕτω δὲ σὺ μὲν δὴ πλούσιος γενήσει, ἐγὼ δὲ ὡς εἰκὸς πένης λελείψομαι. ἐν δὲ τῷ ὑστεραίῳ ἐνιαυτῷ πᾶν τοὐναντίον δεῖ γενέσθαι· ἐμοὶ μὲν γὰρ τὰ ὑπὲρ γῆς δώσεις, σεαυτῷ δὲ τὰ κάτωθεν.



## CI.

ἐπὶ τούτοις οὖν ὁ Κιλίος σύμβασιν ἐποιήσατο πρὸς τὸν Γρυμφόν· ὁ δὲ εὐθὺς ἠφανίσθη. ἡμέρας δὲ γενομένης, ἐξεγερθεὶς ὁ Κιλίος ἐκ τοῦ ὕπνου καὶ ἀναστὰς ἐκ τῆς κλίνης πρῶτον μὲν ἐν πολλῇ ἀπορίᾳ ἦν, ὡς τὸ ἥμιου τοῦ καρποῦ ὑποσχόμενος τῷ Γρυμφῷ ἀποδώσειν. τέλος δὲ τοιόνδε ἐμηχανήσατο ὥστε ἐξαπατᾶν τὸ δαιμόνιον. τὸν μὲν πρῶτον ἐνιαυτὸν σῖτον ἔσπειρε. καὶ οὕτω τὸν καρπὸν πάντα ὑπὲρ γῆς ὄντα αὐτὸς εἶχε, τοῦ Γρυμφοῦ τὰ ὑπὸ γῆς καὶ ἀνωφελῆ φερομένου. τῷ δὲ δευτέρῳ κρόμμυα ἐν τῷ ἀγρῷ ἔσπειρε· τούτων δὲ τὰ φύλλα μόνον ὑπερεῖχε τῆς γῆς, καὶ αὖθις οὐδὲν ὠφέλιμον ἔλαβεν ὁ Γρυμφός· ὥστε δὶς ἐξαπατηθεὶς ἀπῴλετο, οὐδὲ τὸν Κιλίον οὐκέτι ἐτάρασσεν.

## CII.

τοῖς μὲν οὖν ἐμπόροις νόμος ἐστίν, τὰ φορτία θύραζε ἀποκομίζειν βουλομένοις, δέλτον περιδῆσαι, ἐφ' ᾗ γέγραπται τὸ χωρίον οἶπερ ἐν νῷ ἔχουσιν ἐκφέρειν. ἐνίοτε δὲ κύνας καὶ λαγὼς καὶ αἰλούρους ἐκκομίζουσι· καὶ τὰς δέλτους ὁμοίως καὶ τούτοις περιδοῦσι. πολίτης δέ τις, ὃς ἐν τῷ ἐμπορίῳ βαδίζων ἔτυχεν, εἶδε παῖδά τινα μετὰ κυνός, παρὰ τῇ θαλάσσῃ ἑστηκότα, καὶ κλαίοντα καὶ σχετλιάζοντα θαυμασίως ὥς. τοῦ δὲ ἐρομένου διὰ τί τοιαῦτα δρᾷ, ὁ παῖς μετὰ πολλῶν δακρύων, Οὗτος γάρ, ἔφη, ὁ κατάρατος κύων τὴν δέλτον κατεδήδοκεν, οὐδὲ οἶδα τὸ παράπαν ὅποι γῆς κομιζόμεθα.

## CIII.

Βοιωτοὶ δύο, Ἰσμηνός τε καὶ Φιλώνδας, ἐν πλοίῳ ποτὲ διὰ τοῦ Αἰγαίου πόντου ἐκομίζοντο. σκοτεινῆς δὲ οὔσης τῆς νυκτὸς καὶ χειμῶνος χαλεποῦ ἐπιγενομένου, ἐς κίνδυνον οὐ σμικρὸν κατέστησαν. φοβούμενος δὲ ὁ Ἴσμηνος περὶ τῆς σωτηρίας, μεγάλῃ τῇ φωνῇ βοήσας τῷ ἑταίρῳ, ὦ Φιλώνδα, ἔφη, νῦν δήπου δεῖ ὡς προθυμότατα εὔξασθαι τοῖς θεοῖς, ἵνα σωζώμεθα. ὁ δὲ οὐχ οἷός τε ἔφη εἶναι εὔχεσθαι, ὡς εἴκοσιν ἐτῶν οὐδεμίαν εὐχὴν θεῷ οὐδενὶ εὐξάμενος. τοῦ δὲ Ἰσμήνου σφόδρα λιπαροῦντος, πειράσεσθαι ὑπέσχετο καίπερ οὕτως ἀήθης δὴ ὤν. ἐν ᾧ δὲ ἔτι ἠπόρει, οὐκ εἰδὼς ὅπως ἄρξασθαι δεῖ, ἐξαίφνης ὁ Ἴσμηνος Ἀλλὰ παῦσαι, ἔφη, εὐχόμενος, μηδὲ χάριν ὄφειλε θεῷ μηδενί· τὴν γῆν γὰρ ὁρῶ, καὶ ἤδη σεσώσμεθα.

## CIV.

οἱ ἱερεῖς τῶν Βοιωτῶν τοὺς παῖδας περὶ τῶν θείων θαυμάτων διδάσκουσι, ἵνα τὰ περὶ τῶν θεῶν ὀρθῶς μάθωσι. διηγεῖτο δέ ποτε ἱερεύς τις Βοιωτὸς περὶ τούτου, καὶ τοὺς παῖδας ἤρετο, Τί δὴ ἂν λέγοιτε, εἰ τὸν ἥλιον φαίην νυκτὸς ἑωρακέναι; ἐλπίζων δὴ ἀποκρινεῖσθαί τινα, ὅτι θαῦμα θεῖον εἶδε. ὁ δὲ πρῶτος παῖς ἄγροικος ὤν, Ἔγωγε, ἔφη, λέγοιμι ἂν ὅτι οὐ τὸν ἥλιον εἶδες τῷ ὄντι ἀλλὰ τὴν σελήνην. ὁ δὲ δεύτερος, Ἀλλ' ἔγωγε, ἔφη, ἀποκρινοίμην ἂν ὅτι οὐκέτι δεῖ καθεύδειν τοῦ ἡλίου ἀνατείλαντος. ὁ δὲ



τρίτος· Ἀλλ' ἐγώ, ἔφη, τῶν ἑτέρων ἂν διαφέροιμι· οὐ γὰρ ἄν σοι πειθοίμην τὸ παράπαν.

## CV.

οἱ Κασσιτέριοι νῆσόν τινα οἰκοῦσι, καὶ πολλὰ καὶ θαυμάσια ἔθη ἀσκοῦσι. καὶ ἐκείνῃ τῇ ἡμέρᾳ ᾗ τοὺς ἄρχοντας αἱροῦνται, ὅπερ ἀεὶ διὰ ἓξ ἐτῶν γίγνεται, θόρυβος καὶ ἀταξία εἴωθεν ἐν τῇ πόλει εἶναι τῶν κακίστων καὶ βιαιοτάτων τοῦ δήμου ἐν ταῖς ὁδοῖς κωμαζόντων. ἦν δέ τις Αὐλείδης ἐν τῇ πόλει, πάνυ σοφὸς ὢν καὶ ἀγχίνους. τοῦτον δὲ ἡσύχως διὰ τῆς ὁδοῦ βαδίζοντα τῶν κωμαστῶν τις ἔτυχε πηλῷ πατάξας, ὥστε ἐμιάνθη πᾶν τὸ πρόσωπον. τοῦ δὲ ἀγανακτοῦντος, ὡς εἰκός, προσελθὼν ἀπελογεῖτο ὁ ἄνθρωπος· Σὲ μὲν γάρ, ἔφη, ἐπάταξα, τοῦ δὲ ἄρχοντος ἐστοχαζόμην. ὁ δὲ Αὐλείδης, Ὤφελες δή, ἔφη, ἐμοῦ μὲν στοχάζεσθαι, τὸν δὲ ἄρχοντα πατάξαι.

## CVI.

οἱ δὲ Βοιωτοὶ συλλόγους ποιοῦνται ἐς τὰ ἱερὰ ἅπαξ τοῦ μηνός· συλλεγέντες δὲ ἀργύριον εἰσφέρουσι τῷ θεῷ ἐς θύλακόν τινα. ἦν δέ τις Ζῆθος, ὑπηρέτης ὢν τοῦ ἱεροῦ, ὃν ἔδει τὸν θύλακον τοῖς παροῦσι περιφέρειν, πάντων δὲ εἰσενεγκόντων καὶ τῶν μυστηρίων τετελεσμένων, οἱ μὲν ἄλλοι ἀπῆλθον· εἶδε δὲ ἕνα τινὰ ὁ Ζῆθος περιμένοντα, ὡς ἔχοντα δή τι εἰπεῖν. ὥστε ἠρώτα αὐτὸν τί πάσχει; ὁ δὲ ἀπεκρίνετο Ἄκουε δή· ἄρτι γὰρ φερομένου τοῦ θυλάκου

ἐν νῷ εἶχον ὀβολὸν δοῦναι· ἔλαθον δὲ ἐμαυτὸν δραχμὴν δούς· ἀκουσίως δὲ δράσας ἀξιῶ σὲ τοὺς πέντε ὀβολούς μοι ἀποδοῦναι· τοῦ δὲ οὐκ ἐθέλοντος, Ἀμέλει, ἔφη ὁ ἄνθρωπος· ὁ γὰρ θεὸς χάριν μοι ἕξει τῆς δραχμῆς. ὁ δὲ Ἥκιστα, ἔφη· ὁ γὰρ θεὸς τὴν σὴν διάνοιαν εἰδὼς τοῦ ὀβολοῦ μονον ἂν χάριν ἔχοι.

## CVII.

κάπηλος ἦν τις ὀνόματι Πρίος, τὰ μὲν ἄλλα σπουδαῖος ὢν ἀνὴρ καὶ φιλάνθρωπος τῇ φύσει, τούτῳ δὲ ἐνίοτε λυπηρὸς ὤν, ὅτι τὰ περὶ τῶν γειτόνων θαυμασίως ἐπεθύμει εἰδέναι· ὥστε πολυπράγμων ἐκινδύνευε καλεῖσθαι. πορευόμενος δέ ποτε μετὰ τοῦ φορτίου πρὸς Ἐρυθράς, καὶ χαλεποῦ ὄντος τοῦ καύματος, ἐν τῷ ὄρει ἐκάθητο παρὰ τῇ ὁδῷ ὑπὸ δένδρῳ τινὶ μεγάλῳ ὥστε ἀναπαύεσθαι καὶ ἐν ἡσυχίᾳ δεῖπνον λαβεῖν. ἐν δὲ τούτῳ παριόντα ἰδὼν Θεσσαλόν τινα ἄνθρωπον ὡς ἀπ' Ἐρυθρῶν, βοήσας ὁ Πρίος ἤρετο πότερόν τι καινὸν ἐγένετο ἐκεῖ· ὁ δὲ ὠχρὸς γενόμενος καὶ δεδιέναι δοκῶν ἀπεκρίνετο τοιάδε· σήμερον περὶ μεσημβρίαν ἀπέκτειναν ἐν Θήβαις Μεγαρεύς τις καὶ Φωκεὺς τὸν Ἀμφιονίδαν.

## CVIII.

ταῦτα δὲ λέξας ἀπῴχετο ὡς τάχιστα δρόμῳ. ὁ δὲ Πρίος σφόδρα θαυμάσας ἐφ' ᾧ ἐπύθετο, πῶς ἄρα ὁ Θεσσαλὸς οὕτω ταχέως ἀκήκοεν ὅπερ ἐν Θήβαις περὶ



μεσημβρίαν ἐγένετο, ἥσθη μέντοι τοσοῦτον πρᾶγμα ἔχων πανταχοῦ ἀγγεῖλαι. καὶ ἐς Ἐρυθρὰς ἀφικόμενος καὶ παρὰ φίλῳ ἐκείνην τὴν νύκτα μέλλων διάγειν, πρὸς τὴν οἰκίαν ἦλθε, καὶ ἤγγειλε τὸ ἐν Θήβαις αὐθημερὸν γενόμενον. ὁ δὲ φίλος ἀπεκρίνετο θαυμάσιον δὴ εἶναι· αὐτὸς μὲν γὰρ οὐδέπω πεπύσθαι, καίπερ νεωστὶ ἥκων ἐκ Θηβῶν· ἐκεῖνον δὲ δὴ εἰδέναι ἐξ ἐναντίας ἐλθόντα. καὶ διὰ τοῦτο, ἔφη, τοσούτῳ πλέον θαυμάζω, ὅτι ὀψὲ τῆς ἡμέρας εἶδον αὐτὸν τὸν Ἀμφιονίδαν ζῶντα.

## CIX.

ὁ δὲ Πρίος ἠπόρει δὴ ἀκούσας πῶς ἔχει τῷ ὄντι τὸ πρᾶγμα· δῆλον γάρ, ἔφη, ὅτι ψευδῆ μοι ὁ Θεσσαλὸς ἔλεξε ἀποθανόντα ἀγγείλας τὸν ἄνθρωπον· καίτοι οὐδαμῶς παίζων ἐδόκει λέγειν, καὶ ἅμα φοβεῖσθαι ἐφαίνετο περὶ ἑαυτῷ. ὡς δὲ οὐδὲν σαφὲς ἐφάνη, χαίρειν εἰπὼν τῷ φίλῳ ἅμα τῇ ἕῳ ἐπὶ Θηβῶν ἀπῴχετο. καὶ οὐ μακρὰν ἀπὼν τῆς πόλεως Μεγαρεῖ τινι ἐνέτυχε φορτίον ἐπ' ὤμων φέροντι καὶ ἐπ' Ἀθηνῶν ὡς εἶχε ποδῶν φεύγοντι. ὁ δὲ Πρίος κατέχων αὐτὸν ἤρετο περὶ τοῦ φόνου, εἰ τῷ ὄντι ἀποτέθνηκεν ὁ Ἀμφιονίδας ὑπὸ Μεγαρεως καὶ Φωκέως ἐχθὲς περὶ μεσημβρίαν. ὁ δὲ ὠχριάσας καὶ ὀλίγου καταπεσὼν εἶπε τάδε· Τέθνηκε μὲν ὑπὸ Φωκέως τινός· Μεγαρεὺς δὲ οὐδεὶς οὐδὲ προσῆλθεν· οὐδ' οὖν ἐχθές, ἀλλὰ σήμερον περὶ μεσημβρίαν.

## CX.

*καὶ ἅμα ταῦτα εἰπὼν ἀπέδραμε κατὰ τὴν ὁδόν, ὥσπερ μυρίων Εὐμενίδων διωκουσῶν. ὁ δὲ Πρίος ἔτι μᾶλλον ἀμηχανῶν ἢ πρότερον περὶ τοῦ πράγματος κατέμενεν ἐν τῇ ὁδῷ ἑστηκὼς καὶ ζητῶν τὸ ἀληθές. Ἀνάγκη οὖν, ἔφη πρὸς ἑαυτὸν μετὰ χρόνον τινά, αὐτὸν ἐμὲ ἰόντα σκέψασθαι τὸν Ἀμφιονίδαν, εἰ τῷ ὄντι τέθνηκε τὸ παράπαν. ταῦτα οὖν διανοούμενος ἅμα νυκτὶ πρὸς κώμην τινὰ ἀφίκετο, οὗπερ ἔδει ἀναπαύεσθαι. καὶ ἀφικόμενος πᾶσι τοῖς ἐκεῖ περὶ τοῦ φόνου διελέγετο, ἀγγελλων τὰ γενόμενα καὶ ἐρόμενος εἴ τις πλέον τι οἶδεν. πάντων δὲ σιγώντων ἀνέστη καὶ ἐνταῦθα γεωργός τις, φάσκων αὐτὸς ὀλίγον πρότερον τῷ Ἀμφιονίδᾳ περιτυχεῖν, Θήβαζε ὁδοιποροῦντι ἐξ ἀγροῦ καὶ θύλακον χρυσοῦ μεστὸν φέροντι.*

## CXI.

*ταῦτα δὲ ἀκούσας οὐκέτι δὴ ἠνέσχετο ὁ Πρίος, ἀλλὰ βραχύ τι ἀναπαυσάμενος ἀνέστη ἔτι νυκτὸς οὔσης ὡς πρὸς τὴν πόλιν ἰὼν καὶ τὸ πρᾶγμα αὐτὸς ἐλέγξων. καὶ ὀλίγου πρὸ μεσημβρίας ἀφικόμενος ἔσπευδεν ἐπὶ τὴν οἰκίαν τοῦ Ἀμφιονίδου φοβούμενος καὶ δεινόν τι εὑρήσειν προσδεχόμενος. ἐπεισπεσὼν δὲ εἰς τὴν αὐλὴν θόρυβόν τε ᾔσθετο γιγνόμενον καὶ ἄνθρωπόν τινα εἶδε ἐγχειρίδιον ἐπαίροντα ὥστε τὸν Ἀμφιονίδαν ἀποκτεῖναι. προσδραμὼν δὲ ἔφθασε πρὶν πατάξαι συλλαβὼν τὸν φονέα, καὶ ἔσωσε τὸν φίλον. τότε δὴ φανερὸν ἐγένετο τὸ πᾶν. ξυνώμοσαν γὰρ τρεῖς ἄνθρωποι, Θεσσαλός τε καὶ Μεγαρεὺς καὶ Φωκεὺς ὥστε φονεῦσαι ἐκεῖνον.*



## CXII.

*δείσας δὲ ὁ Θεσσαλὸς πρῶτον ἀπῴχετο φεύγων πρὶν ἐκτελέσαι τὸν φόνον. τὼ δὲ ἑτέρω ἐκείνου προδόντος ἀδυνάτω ἤτον ἄνευ τοῦ ἑταίρου ἐκείνῃ τῇ ἡμέρᾳ τὴν ἐπιβουλὴν περαίνειν, ἀλλὰ διενοείσθην τῇ ὑστεραίᾳ περὶ τὴν αὐτὴν ὥραν τῷ ἔργῳ ἐπιχειρεῖν. τῇ δὲ ὑστεραίᾳ ὡσαύτως ἀπώκνησεν ὁ Μεγαρεύς, ὥστε ὑπολειπόμενος ὁ Φωκεὺς αὖθις ἠναγκάσθη ἀναβαλέσθαι τὸν φόνον ἐς τὴν αὔριον. καὶ ἐκείνοις μὲν ἐφεξῆς φεύγουσι περιέτυχεν ὁ Πρίος· τὸν δὲ τελευταῖον τῇ τρίτῃ ἡμέρᾳ καταλαμβάνων ἔτυχε αὐτῷ τῷ ἔργῳ ἐπιχειροῦντι. καὶ οὕτω διὰ τὸ πολυπραγμονεῖν διέσωσε τὸν Ἀμφιονίδαν.*

## CXIII.

*διδάσκαλός τις ἦν ὀνόματι Ἐνίδης, ἀνήρ ὢν τῷ μὲν ἔργῳ πάνυ σώφρων, τῷ δὲ λόγῳ ἐνιότε θαυμάσιος καὶ ἀεικής. καὶ παρὰ τούτῳ πολλοὶ ᾤκουν νεανίαι, ἓξ μῆνας ἐνταῦθα διάγοντες τοῦ ἐνιαυτοῦ, ἵνα φιλοσοφίαν μανθάνοιεν. καὶ παρὰ τῷ Ἐνίδῃ οἰκοῦσιν οὐκ ἐξῆν ἀπιέναι, πλὴν διὰ αἰτίαν τινὰ ἱκανήν. ἐλθὼν δέ ποτε νεανίας ᾔτησε τὸν διδάσκαλον ἐᾶν ἀπιέναι, ὡς συγγενοῦς τινος ἀποθανόντος· Τῷ γὰρ τάφῳ, ἔφη, βούλομαι παρεῖναι, ὡς συγγενεῖ δὴ προσήκει. ὁ δὲ Καὶ τίς, ἔφη, τέθνηκέ σοι; ὁ δὲ τὸν θεῖον ἀπεκρίνατο νεωστὶ τεθνηκέναι. ὁ δὲ Ἐνίδης*

σκυθρωπὸς γενόμενος Ἐῶ σε τοίνυν, ἔφη, ἀπιέναι· ἄμεινον δὲ ἂν ἦν εἴ σοι ὁ πατὴρ ἀπέθανεν.

## CXIV.

Βοιωτός τις ἐς Κόρινθον ἀφικόμενος, Βορέου γενομένου καὶ παγέντος τοῦ ἐν ταῖς ὁδοῖς ὕδατος, καταπεσὼν ἐν τῇ ἀγορᾷ πάνυ δυσχερῶς διέκειτο. καὶ οἱ παρόντες ἐπῆραν αὐτὸν οὐ δυνάμενον ἀναστῆναι, καὶ ἔφερον πρὸς τὴν οἰκίαν. πειθόντων δέ τινων Κορίνθιον ἰατρὸν μεταπέμψασθαι, οὐκ εἴα ὁ νοσῶν, ὡς ἑνὸς μόνου σοφοῦ ὄντος ἰατροῦ, τούτου δὲ Βοιωτοῦ, ὀνόματι Φιλώνδου. οἱ δὲ ἄγγελον ἔπεμψαν ἵνα κομίσειε τὸν Φιλώνδαν. ὁ δὲ ἧκε φέρων ἐπιστολὴν τοιάνδε· Αὐτὸς μὲν ὦ φίλε οὐ δύναμαι προσελθεῖν, φάρμακον δὲ ἱκανὸν πέμψω, ἐὰν μόνον εἰδῶ περὶ τοῦ κακοῦ, ὅπου πρῶτον ἤλγησας. ὁ δὲ νοσῶν εἰπεῖν ἐκέλευσεν, ὅτι ἐν ἀγορᾷ τῇ τῶν Κορινθίων.

## CXV.

Χῖός τις μετὰ ἑταίρου ποτὲ ὁδοιπορῶν ἐν Ἀσίᾳ ἦλθε πρὸς εὐρύν τινα ποταμόν, ὃν ἔδει διαβῆναι. γεφύρας δὲ οὐκ οὔσης, ὁ ἑταῖρος ἤρχετο ἀποδύεσθαι, ὡς νεῖν διανοούμενος. ὁ δὲ Χῖος οὐδὲν δεῖν ἔφη μετὰ τοσούτου πόνου διαβῆναι· ῥᾷον γὰρ αὐτὸς τὸ πρᾶγμα ἐκτελεῖν, ῥίψας ἐκεῖνον πρὸς τὴν πέρα ὄχθην. ὁ δὲ οὐκ ἔφη αὐτὸν δύνασθαι ῥίψαι ἑαυτόν, βαρὺν ὄντα ἄνθρωπον· ἐθέλειν γὰρ περιδόσθαι αὐτῷ περὶ ταλάντου χρυσοῦ. τοῦτο δὲ ὑπέσχετο οἰόμενος ἢ ἄνευ πόνου διαβήσεσθαι τὸν ποταμὸν ἢ τάλαν-



τον ἕξειν χρυσοῦ. ὁ δὲ Χῖος δεξάμενος καὶ λαβὼν ἰσχυρῶς ἔρριψεν αὐτὸν ἐς μέσον τὸ ὕδωρ. ὡς δὲ μόλις σωθεὶς καὶ διαβεβρεγμένος ἀπῄτει τὸ χρυσίον, Ἀλλὰ οὐ τὸ πρῶτον, ἔφη ὁ Χῖος, ὑπεσχόμην δράσειν· ἄγε νυν, οὐκ ἀποκαμεῖν δεῖ, ἀλλ' αὖθις πειρᾶσθαι.

## CXVI.

οἱ Μαλαῖοι μύθους πολλοὺς καὶ θαυμασίους λέγουσι περὶ τῶν ὀρνίθων, δηλοῦντες δὴ ὅθεν ἐπίστανται τὰς νεοσσιὰς κατασκευάζειν. λέγουσι δὲ τοιάδε· πρῶτον μὲν αἱ ὄρνιθες οὐδαμῶς εἰώθεσαν νεοσσιὰς ποιεῖν, ἀλλὰ τὰ ᾠὰ ἢ χαμαὶ φανερῶς κατετίθεντο, ἢ πόᾳ μόνον κεκρυμμένα. ἦλθε δέ ποτε φοῖνιξ ἀπὸ τῶν ἀντολῶν ἡλίου, καὶ συλλέξας πάσας τὰς ὄρνιθας ἤρχετο διδάσκειν ὅπως δεῖ οἴκους οἰκοδομεῖν. καὶ κλάδους καὶ κάρφη λαβὼν αὐτὸς παρουσῶν ἁπασῶν νεοσσιὰν ᾠκοδόμει πάνυ σοφῶς καὶ ἐπιστημόνως, παράδειγμα ποιούμενος ἵνα αἱ ἕτεραι ἅμα μανθάνοιεν. ᾤετο δὲ δὴ τερπνὸν τοῦτο ἔσεσθαι αὐταῖς, καὶ πολλὴν χάριν εἴσεσθαι ἑαυτῷ.

## CXVII.

πᾶσαι δὲ ἐσίγων τὸ πρῶτον, καὶ ἐπιμελῶς ἐθεώρουν αὐτὸν ἐργαζόμενον, κέρδος ποιούμεναι εἰ οἴκους καλοὺς ἕξουσι. ὁ δὲ φοῖνιξ πρῶτον μὲν κλάδους τινὰς συνέπλεκε, ὥστε ἔδαφος εἶναι τῆς νεοσσιᾶς. ἐπεὶ δὲ τοῦτο ἐξετέλεσεν, ἡ περιστερά, ἀεὶ μέγα φρονοῦσα ἐφ' ἑαυτῇ, ἀπῴχετο πετομένη καὶ βοῶσα Οἶδά τοι, Οἶδά τοι. καὶ ἐξ ἐκείνου τοῦ χρόνου ἔδαφος μόνον οἰκοδομεῖ τοῖς ᾠοῖς, νεοσσιὰν δὲ

οὔ. ὁ δὲ φοῖνιξ οὐδὲν ἧσσον διετέλει συμπλέκων τοὺς τοίχους τοῦ οἴκου· τούτου δὲ γενομένου ἀπέπτατο εὐθὺς ἡ κίχλη βοῶσα Εὖ, εὖ, καὶ αἱ πολλαὶ συνείποντο αὐτῇ· ὥστε μέχρι τῶν τοίχων ἔτι καὶ νῦν οἰκοδομοῦσιν αἱ ὄρνιθες. μόνη δὲ ἡ χελιδὼν παρέμενε θεωροῦσα πᾶν τὸ ἔργον, καὶ ὀροφὴν ἐμάνθανε ποιεῖσθαι· καὶ διὰ τοῦτο αὕτη μόνη τελείαν νεοσσιὰν καὶ ὀροφὴν ἔχουσαν οἰκοδομεῖ.

## CXVIII.

περὶ δὲ τῆς θαλάσσης οἱ αὐτοὶ Μαλαῖοι ἕτερον μῦθον λέγουσι διηγούμενοι ὅπως ἁλμυρὰ ἐγένετο. ἦν γὰρ τὸ ὕδωρ τῆς θαλάσσης τὸ πρῶτον, ὥς φασιν, ἡδὺ ὥσπερ καὶ οἱ ποταμοί· ὁ δὲ Ζεύς, ἵνα μὴ μιαίνοιτο ὑπὸ τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων ἐμηχανᾶτο τὸ τοιόνδε· τῷ γὰρ βασιλεῖ τῶν Μαλαίων ἔδωκε θύλακόν τινα, φάσκων κέρδος μέγα ἔσεσθαι αὐτῷ ἀντὶ τῆς εὐσεβείας· ὁπότε γὰρ αἰτοίη τι, καὶ λέγοι, ὦ θύλακε δεῖ μοι τούτου, ἐξαίφνης ὑπισχνεῖτο ἐκ τοῦ θυλάκου ἐκφανήσεσθαι τὸ αἰτούμενον. ἐκέλευσε δὲ ἅμα μέτριον εἶναι τῷ θυλάκῳ χρώμενον, καὶ μηδὲν αἰτεῖν πλὴν τῶν ἀναγκαίων, εἰ δὲ μή, ἠπείλησε πολλὰ καὶ δεινὰ πείσεσθαι· ὁ δὲ βασιλεὺς λαβὼν τὸ δῶρον ἥσθη θαυμασίως ὡς.

## CXIX.

καὶ πολὺν μὲν χρόνον πάνυ μετρίως ἐχρῆτο τῷ θυλάκῳ τὰ ἀναγκαῖα μόνον αἰτῶν, καὶ ἀεὶ ἀφθονίαν πολλὴν ἐξ αὐτοῦ δεχόμενος. ἔπλει δέ ποτε διὰ τῆς θαλάσσης μετὰ πολλῶν ἑταίρων, καὶ ὡς πάντα προεχώρησεν αὐτῷ ἐφ' ἃ ἐξέπλευσεν, ἐν μεγάλῃ χαρᾷ ὢν δεῖπνον ἐκέλευσε τοὺς ναύτας ἑτοιμάζειν ὡς ἐπὶ τῇ εὐτυχίᾳ. καὶ πάντων παρεσκευασμένων, εἶπέ τις τῶν Μαλαίων τῷ βασιλεῖ ὅτι οὐδὲν ἅλας ἔχουσι. ὁ δὲ ἀναγκαῖον δὴ οἰόμενος εἶναι ᾔτησε τὸν θύλακον δοῦναι, δεδιὼς μέντοι λάθρα τι, αἰσχυνόμενος δὲ διὰ τοὺς ναύτας. εὐθὺς δὲ ἀνοιχθεὶς ὁ θύλακος τοσοῦτον ἅλας ἐξέχει ὥστε κατέδυ ἡ ναῦς καὶ ἅμα οἱ πλέοντες· οὐδὲ ἐπαύσατο οὐδὲ τότε, ἀλλ' ἔτι καὶ νῦν κάτω κεῖται ἅλας ἐκχέων· ὥστε πικρὰ δὴ γέγονεν ἡ θάλασσα.



## CXX.

τοξότης τις ἦν ἐν Κρήτῃ, ἐμπειρότατος μὲν ὢν τοῦ τοξεύειν, ἅμα δὲ καὶ μέγα φρονῶν ἐπὶ τῇ τέχνῃ. παρόντος δέ ποτε Βοιωτοῦ τινος, ἔφη ὁ Κρὴς δύνασθαι οὕτως ἰσχυρῶς ἀφεῖναι τὸν οἰστόν, ὥστε ὑπὲρ τῆς σελήνης πετέσθαι. ὁ δὲ Βοιωτὸς γελάσας Τοῦτό σοι, ἔφη, δράσαντι ὑπισχνοῦμαι τάλαντον χρυσοῦ ἀποδώσειν. ἤδη γὰρ δὴ ἀδύνατον ὄν. ὁ δὲ Κρὴς δεξάμενος τὴν ὑπόσχεσιν τῇ ὑστεραίᾳ νυκτὶ ἐκέλευσε παρεῖναι, ὅτε νουμηνία ἔτυχεν οὖσα. παρόντων δὲ ἐφαίνετο δὴ ἡ σελήνη, μέλλουσα καταδῦναι· ὥστε ἐπείγεσθαι ἐκέλευσεν ὁ Βοιωτός, ὡς εὐθὺς ἀφανισθησομένης τῆς σελήνης. ὁ δὲ σιγῶν καὶ ἡσυχάζων, ἐπεὶ τέλος ἠφανίσθη, εὐθὺς ἀφῆκε τὸ βέλος. ἀφεὶς δὲ Ἀπόδος, ἔφη, τὸ τάλαντον· ὑπὲρ γὰρ σελήνης ἐτόξευσα, ἐπεὶ ἐκείνη μὲν ὑπὸ θάλασσαν οἴχεται ἐγὼ δὲ ὑπὲρ θαλάσσης ἀφῆκα τὸ τόξευμα.

## CXXI.

Νεανίας τις ἦν ἐν Κρίσῃ οἰκῶν, υἱὸς ὢν τοῦ ἄρχοντος τῶν Κρισαίων· οὗτος δὲ Ἀθήναζε ἀπεδήμησεν ἵνα φιλοσοφίαν παρὰ τῶν ἐκεῖ σοφιστῶν μανθάνοι. ἀπιόντι δὲ ὁ πατὴρ ἀργύριον αὐτῷ ἔδωκεν ἱκανόν, ὥστε δύνασθαι ἕνα ἐνιαυτὸν Ἀθήνησι διάγειν, καὶ τὸν μισθὸν τοῖς σοφισταῖς ἀποδοῦναι. ὁ δὲ παῖς πρὸς τὴν πόλιν ἀφικόμενος καὶ νεανίᾳ ἑτέρῳ περιτυχών, ὃς γνώριμος ἦν πρότερον, συμβουλεῦσαι ἠξίου ἑαυτῷ τί δέοι πράσσειν καὶ ὅντινα τρόπον διαιτᾶσθαι. οὗτος δὲ πολλὰ καὶ δεινὰ συνεβούλευσε, καὶ ἀντὶ πολλῶν δώρων πάνυ σοφῶς ἐδίδασκεν ἀργύριον δανείζεσθαι· ὥστε τελευτῶντος τοῦ ἐνιαυτοῦ, καὶ ἐρομένου τοῦ πατρὸς εἰ ἱκανὸν ἐγένετο τὸ ἀργύριον ὅπερ ἀπιὼν ἐδέξατο, Ἱκανὸν δήπου, ἔφη, ἐγένετο· διὰ γὰρ τοῦτο ἐδυνάμην τὸ ἕτερον δανείζεσθαι.